Λογικὴ καταγίνεται; φαῖεν αὖ περὶ τὰ ὑφεστῶτα; πότερον ἄρα ἔννοιαν τούτων λαβεῖν ἀναγκαῖον, εἶθ' οὕτως διὰ φωνῶν δηλωθῆναι, ἢ οὔ; συμφήσουσι πάντως. ἀδύνατον γὰρ πράγματα σημανθῆναι ὑπὸ φωνῶν, μὴ μεσολαβοῦντος νοήματος. ὥστε τὰ πράγματα ἐννοούμενα διὰ τῶν φωνῶν σημαίνονται. αὐτὰ ταῦτα ῥητέον καὶ πρὸς τοὺς λοιπούς, καὶ οὐ δεῖ περὶ τούτων μακρολογεῖν.

## Θέσις τῆς ἀληθείας.

Τρόπον τινὰ τοιγαροῦν τά τε πράγματα, καὶ τὰ νοήματα, καὶ αἱ φωναὶ ὑπὸ τῆς Λογικῆς θεωροῦνται ὡς ταύτης οἰκεία ὕλη, οὐχ ὁμοίως δὲ, ἀλλ' ἐφ' ὅσον ἕκαστον τούτων κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα συμβάλλεται ἐν ὑποκειμένου λόγῳ. τὰ μὲν γὰρ πράγματα (ἅπερ βάσεως λόγον ἔχει) θεωρεῖται ἢ συλλαμβάνεται τῷ νῷ, καὶ δηλοῦται διὰ φωνῶν. τὰ δὲ νοήματα, (ἅπερ ἐπιγίνεται τοῖς πράγμασι) θεωρεῖται ὡς παραστατικὰ τῶν πραγμάτων, καὶ εἰκόνες, ἢ ὁμοιότητες αὐτῶν. αἱ δὲ φωναὶ ὡς δηλωτικαὶ τῶν πραγμάτων διὰ μέσων τῶν νοημάτων, σύμβολα οὖσαι τῶν νοημάτων προσεχῶς, διὰ δὲ τῶν νοημάτων δηλωτικαὶ τῶν πραγμάτων. Ἔστι δὲ ἡ διδασκαλία τοῦ Φιλοσόφου αὕτη τῷ προοιμίῳ τοῦ περὶ Ἑρμηνείας, καὶ σποράδην ἐπὶ τῆς Λογικῆς πραγματείας. τὰ δὲ γράμματα ἐνίοτε παραλαμβάνεται τοῖς λοιποῖς τρισίν, ὁπότε δέον τὰς φωνὰς ταμιευθῆναι εἰς μνήμης διαμονήν.

Μέχρι τοῦδε ἱκανῶς ἐρευνήσαντες περὶ τῆς κατὰ Λογικὴν ὕλης, καὶ τὰς τῶν ἑτεροδοξούντων γνώμας εἰ ὅλως ἀληθείας ἔχονται ἀνακρίναντες, ἀποδέδεικται προφανῶς ὅτι πᾶσαι αἱ λοιπαὶ δόξαι (πλὴν τῆς ὑποθεμένης τὰ νοήματα διὰ τῶν φωνῶν σημαντικὰ τῶν πραγμάτων, ὕλην τῆς Λογικῆς εἶναι) ψευδόμεναι, καὶ ἑκάστη τούτων τὴν προσήκουσαν ἀνατροπὴν ἐν ἰδίοις τόποις προσέλαβεν. ἑπόμενον ἄρα εἴη καὶ περὶ τοῦ τέλους διορίσασθαι, ἵνα τό, τε προσεχὲς Γένος, καὶ ἡ Διαφορὰ οἰκείως θηραθεῖεν; περὶ ὧν τὰ τοσαῦτα κατηναλώσαμεν.

## Περὶ Τέλους, καὶ ποῖον ἐστὶ τὸ τῆς Λογικῆς τέλος.

Ἡ Τέλος φωνὴ τῶν πολλαχῶς ἐστὶ λεγομένων, διὸ καὶ πολλαχῶς διαιρεῖσθαι πέφυκεν. ἔστι δὲ ἔσχατον τι ἀναφερόμενον πρὸς τὴν ἀρχήν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς περὶ τούτων ἂν ἔπει τὸ Τέλος ἐκλαμβανόμενον, τὸ πέρας ἐκεῖνο σημαίνει, ὅπερ τῇ ἀρχῇ ὁπωσοῦν πραγμάτων οὕπερ ἐςὶ Τέλος ἀντιδιαιρεῖται, καὶ ἀντίκειται. ὅθεν ὁσαχῶς ἡ ἀρχὴ, τοσαυταχῶς καὶ τὸ Τέλος νοηθῆναι δύναται. οἷον τέλος ζωῆς, τέλος πράξεως, τέλος λόγου, καὶ ἄλλων μυρίων. κυρίως δὲ Τέλος λέγεται οὗ χάριν τι γίνεται, ὃ πρῶτον ἐςὶν ἐν τῇ τοῦ ποιοῦντος, ἢ πράττοντος θεωρίᾳ, καὶ ὕςερον ἐν τῇ ἐκβάσει, λόγον ἀεὶ τοῦ ἀγαθοῦ ἐπέχει, ὡς ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν φέρεται. καὶ ἔςι μία τῶν πολυθρυλλήτων ἐκείνων αἰτιῶν, καὶ μάλιστα ἡ κυριωτέρα. τοῦτο δὴ τὸ Τέλος διχῶς ὁ Φιλόσοφος ἐν τῷ δευτέρῳ τῶν περὶ Ψυχῆς διαιρεῖ λέγων. ὧν τὸ μὲν, τέλος οὗ προσηγόρευσε, τὸ δὲ, τέλος ᾧ. ἔςι Τέλος οὗ, ὅπερ ἀμέσως ἡ Γένεσις, ἢ ἡ Τέχνη ςοχάζεται, καὶ οὗ ἕνεκα ἡ ἐργασία, καὶ κίνησις γίνεται. ὡς ἐν τῇ Οἰκοδομικῇ τὸ σχῆμα τῆς Οἰκίας, οὗ ἕνεκα ἡ ἐργασία γίνεται. Τέλος δὲ ᾧ, δι' ὃ τὸ οὗ τέλος ζητεῖται, καὶ γίνεται. φέρε εἰπεῖν, ἡ Οἰκία ἥτις οὗ τέλος ἐλέγετο, διὰ τὸν οἰκήσοντα ἐγίνετο. καὶ τὸ σχῆμα ἐκείνης δι' ἐκεῖνον ἡτοιμάζετο. ὥςε ὁ κατοικήσων ἐςὶ τὸ ᾧ τέλος, δι' ὃ τὸ οὗ ἐγένετο.

Ἀμφότερα ταῦτα ἐπὶ τῆς Λογικῆς θεωρεῖται. Τέλος γὰρ οὗ ἐςὶν ἐπὶ τῆς Λογικῆς ὁ καθόλου Συλλογισμὸς, οὗ ἕνεκα τ' ἄλλα ἡ Λογικὴ προδιοικεῖ. ᾧ δὲ Τέλος ἐςὶν ἡ Ἀπόδειξις, δι' ἣν ὁ ἐν γένει Συλλογισμὸς προσπορίζεται, ὅπερ ἐςὶν ἡ Ἐπιςήμη, καὶ ἀκριβὴς τῆς ἀληθείας γνῶσις.

Ἐκ δὴ τούτων ἥτε διαφορὰ καὶ τὸ προσεχὲς γένος τῆς Λογικῆς πρόδηλον γέγονε. τὸ μὲν Γένος, ὅτι περὶ τὴν ὕλην (ἣ καταγίνεται) σχῆμα συλλογιςικὸν σχηματίσαι σπουδάζει, οὐ θεωρίαν ἐπιςημονικὴν περιεργάζεσθαι. ἡ δὲ Διαφορὰ, ὅτι ἐκ τῆς τοιαύτης ἰδιότητος, Τέχνη προδήλως εἶναι φαίνεται. διὸ καὶ τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων, πέντε ἀεὶ ἀληθευτικῶν γνώσεων, τῶν διανοητικῶν δυνάμεων, ὑπὸ τὴν Τέχνην ἀναντιρρήτως ὑπάγεται. τίσι δὲ λόγοις τοῦτο ἐμπεδοῦται, ἐν τοῖς ἐφεξῆς, ἡνίκα καὶ τὴν δόξαν τῶν λεγόντων Ἐπιςήμην εἶναι ἀνατρέψωμεν, δειχθήσεται. εἶχε δ' ἄν τις εἰπεῖν, τί μὴ ὑπὸ τὸν Νοῦν ὑπάγεται, ἢ ὑπὸ τὴν Ἐπιςήμην, καὶ Σοφίαν, ἢ καὶ Φρόνησιν;

Πρὸς ὃν ῥητέον. ὅτι ὁ Νοῦς, ὡς ἐνταῦθα λαμβάνεται, ἔςι τῶν πρώτων καὶ κοινῶν ἐννοιῶν, ἕξις προσεχῶς ἐνοῦσα ἡμῖν ἐκ τοῦ κατὰ φύσιν νοὸς, ὅς τις οὔτε Ἐπιςήμη ἐςὶν, οὔτε Τέχνη. ἡ δὲ Λογικὴ οὐκ ἔςι τῶν κοινῶν ἐννοιῶν. εἰ γὰρ ἦν, ἦσαν αἱ παῖδες ἐνεργοῦντες κατὰ Λογικὴν, ὥσπερ ἐνεργοῦσι κατὰ τὰς κοινὰς ἐννοίας, καὶ ἀναγκαῖον ὑπὸ θάτερον τελεῖ τῶν εἰρημένων γενῶν. ὅτι δὲ οὐκ ἔςιν οὔτε Σοφία, καὶ Ἐπιςήμη, δῆλον ἐκ τούτων. ἡ

γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ Σοφία, καὶ Ἐπιστήμη τέλος ἔχουσι τὴν γνῶσιν τοῦ οἰκείου ἐπιστητοῦ, ἧς ἐγκρατεῖς γενόμεναι, οὐδὲν περαιτέρω πολυπραγμονοῦσιν. ἡ δὲ Λογικὴ οὐ τὴν γνῶσιν τῆς οἰκείας ὕλης ποιεῖται, ἀλλὰ πρόεισιν εἰς ἐργασίαν, ἧς ἕνεκα καὶ τὴν γνῶσιν προσλαμβάνει. Δεύτερον ἡ μὲν Σοφία, καὶ Ἐπιστήμη δι᾽ ἀποδείξεων περίζονται, ἡ δὲ Λογικὴ οὐ κέχρηται ἀποδείξει, ἀλλ᾽ ἐργάτις γίνεται ταύτης. τὸ δὲ ὑπὸ τὴν Φρόνησιν λέγειν ὑπάγεσθαι τὴν Λογικὴν ἕξιν, πάντη ἐστὶν ἀπεμφαῖνον. τὸ γὰρ τέλος τῆς φρονήσεως ἐστὶ πρᾶξις, καὶ ἀπὸ τῆς προαιρέσεως τοῦ πράττοντος ἤρτηται, καὶ τοῦ μέσου ἐστὶ στοχαστικὴ τῶν ὑπερβολῶν καὶ ἐλλείψεων, ἐν ᾧ τὸ προσῆκον συνέστηκε. τῆς δὲ Λογικῆς τέλος οὐ πρᾶξις, ἀλλ᾽ ἐργασία Συλλογισμοῦ, καὶ Ἀποδείξεως, ἥτις οὐκ ἤρτηται ἀπὸ τῆς προαιρέσεως τοῦ ποιοῦντος, οὔτε τοῦ μέσου ἐστὶ στοχαστικὴ, καθ᾽ ὃ τὸ προσῆκον, ἀλλὰ τοῦ τρόπου τῆς ἐργασίας, ὃν παραδίδωσιν ἡ Τέχνη.

## Θέσις τῆς Δόξης τῶν Νεωτέρων τῶν ταττόντων τὴν Λογικὴν Μέθοδον ἐν Ἐπιστήμαις.

Εἴπερ που, κἀνταῦθα οἱ νεώτεροι πολυφωνότατοι γίνονται, παντοίᾳ μηχανῇ διϊσχυριζόμενοι τὴν Λογικὴν μέθοδον ἐν Ἐπιστήμαις καταλέγεσθαι θεωρητικαῖς. ἡμεῖς μέντοι μακροτέροις τοῦ δέοντος ἐπὶ τοῦ παρόντος οὐ χρησόμεθα λόγοις, (τῆς ἀληθείας ἑαυτὴν ἐξ αὐτῶν τῶν πραγμάτων ἀποχρώντως θεατριζούσης,) ἀλλ᾽ ἐφ᾽ ὅσον τὴν διάνοιαν ὑμῶν ἐπὶ τῶν ἐκθησομένων νύξασθαι. διὸ πρὸ τῶν ἄλλων τὰ ἐπιχειρήματα τῶν ἑτεροδοξούντων δέον ἐκθέσθαι, ἵνα τὴν τε ἀλήθειαν ἐπαγαγεῖν, καὶ τὰς λύσεις τούτων ἐπενεγκεῖν ἔχωμεν.

## Λόγοι τῶν Ἑτεροδοξούντων.

Οἱ γλαφυρώτεροι προστάται τῆς ἀντικειμένης δόξης, τοιούτοις τισὶ λημματίοις κέχρηνται εἰς σύστασιν τοῦ οἰκείου δόγματος. καὶ πρῶτον μὲν φασιν, ὡς ἡ Λογικὴ μέθοδος κέχρηται ἀποδείξει. πᾶσα Μέθοδος ἡ κεχρημένη ἀποδείξει, Ἐπιστήμη ἐστίν. ἡ Λογικὴ κέχρηται ἀποδείξει. ἄρα Ἐπιστήμη ἐστίν. ἡ μείζων ἐναργὴς, ἡ ἐλάττων δείκνυται. τὸ λέγειν τὸν λογικευόμενον, ὅτι πᾶσα καθόλου φύσις κατηγορεῖται κατὰ πλειόνων (ἡ γενικὴ φέρε εἰπεῖν, ἢ ἡ εἰδικὴ φύσις ἐστὶ καθόλου, ἄρα κατηγορεῖται

κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κατὰ πλειόνων.) ἀποδείξει ἐστὶ κεχρῆσθαι. ἀλλ᾽ ὁ λογικευόμενος οὕτω λέγει. ἄρα κέχρηται ἀποδείξει.

Δεύτερον λέγουσιν ὅτι ἡ Λογικὴ ἔχει πάντα τὰ συμβαλλόμενα εἰς σύστασιν Ἐπιστήμης. ἔχει γὰρ Ὑποκείμενον, Τέλος, Τρόπον Θεωρίας, καὶ τὰ λοιπά. πᾶσα δὲ ἕξις ἡ τὰ τοιαῦτα ἔχουσα ἐστὶν Ἐπιστήμη. ἄρα ἡ Λογικὴ, Ἐπιστήμη.

Τρίτον ὅτι ἴδιον Ἐπιστήμης ἡ θεωρία. ἡ Λογικὴ κεκλήρωται θεωρίαν. ἄρα Ἐπιστήμη. ἡ μείζων πρόδηλος, ἡ ἐλάττων δείκνυται. τὸ γὰρ θεωρεῖν φυσικὴν συνάφειαν κατηγορουμένου πρὸς ὑποκείμενον, ἔχειν ἐστὶ θεωρίαν. ἡ λογικὴ θεωρεῖ ταῦτα. ἄρα ἔχει θεωρίαν.

Τούτοις καὶ τοῖς ὁμοίοις κέχρηνται εἰς σύστασιν τῆς οἰκείας δόξης, ἀσθενέσιν ὅμως καὶ διελέγκτοις. πρὸ τοῦ ἐπιφέρειν δὲ τὴν λύσιν τούτων, προδιοίκησίν τινα ἐκθέσθαι οὐκ ἄπο δοκεῖ σκοποῦ, ἵνα διμαρέστερον ἐπὶ τὴν ἀλήθειαν προΐωμεν. καὶ ἡ Ἐπιστήμη, ὥσπερ καὶ ἄλλαι φωναὶ, πλεοναχῶς ἐκλαμβάνεται. διὸ πρότερον διοριστέον ἐστὶ περὶ τίνος τῶν σημαινομένων ὁ λόγος. τοιγαροῦν ἔστιν ὅτε πλατύτερον ἐκλαμβάνεται, ὡς καὶ τῶν Τεχνῶν γίνεσθαι σημαντικήν. οὕτω κέχρηται τῇ φωνῇ ὁ Φιλόσοφος ἐν ἄλλοις τε, καὶ πρὸ τῶν Κατηγοριῶν, οὗ καὶ τὴν Γραμματικὴν Τέχνην, Ἐπιστήμην καλεῖ. ἰδιαίτερον δὲ τῆς φωνῆς λαμβανομένης, τὰς θεωρητικὰς ἕξεις μόνας δηλοῖ, ὧν τὸ τέλος ἐστὶ μόνη ἡ γνῶσις τῆς ἀληθείας, καθ᾽ ὃ ταύτην ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν κεφαλαίῳ δευτέρῳ ὁριζόμενος ἔλεγεν. ἐπίστασθαι ἐστὶν ὅταν τὴν αἰτίαν γινώσκωμεν, δι᾽ ἣν τὸ πρᾶγμα ἐστὶ, καὶ ὅτι ἐκείνου αἰτία ἐστὶ, καὶ μὴ ἐνδέχεσθαι τοῦτο ἄλλως ἔχειν. Ἐπὶ τοῦ παρόντος τοιγαροῦν ζητεῖται περὶ τῆς Λογικῆς εἰ ἐστὶν Ἐπιστήμη, οὐ νοουμένης τῆς Ἐπιστήμης κοινότερον κατὰ τὸν πρῶτον τρόπον, ἀλλ᾽ ἰδίως καὶ κατὰ τὸν δεύτερον.

Δεύτερον. τῆς Ἐπιστήμης ἰδίᾳ νοουμένης, ἐνίοτε ἀντὶ μερικῆς τινος γνώσεως ἐννοοῦμεν διὰ μιᾶς ἀποδείξεως ἐνδεικνυμένης. πᾶσα γὰρ ἀπόδειξις Ἐπιστήμην ποιεῖ. κυριώτερον δὲ Ἐπιστήμην λέγομεν τὴν διὰ πολλῶν ἀποδείξεων ἐγγινομένην ἡμῖν. ἀλλὰ αὕτη ἐνδέχεται διχῶς ἐννοεῖσθαι. ἢ γὰρ ἀντὶ ὁλοσχεροῦς τῆς Ἐπιστήμης, ἢ ἀντὶ μέρους τινὸς ἐν ἐκείνῃ. ὁλοσχερὴς μὲν ἐστὶν Ἐπιστήμη ἡ παντὸς τοῦ ἐπιστητοῦ γένους θεωρητική. οἷον, ἡ περὶ παντὸς τοῦ φυσικοῦ σώματος θεωρία, Ἐπιστήμη Φυσικὴ καλουμένη. ἐπὶ μέρους δὲ ἐστὶν Ἐπιστήμη, ἡ εἴδους τινὸς τοῦ ἐπιστητοῦ γένους θεωρητική. οἷον, ἡ περὶ φύσεως οὐρανοῦ, φέρε εἰπεῖν θεωροῦσα, ἐπὶ μέρους

λέγε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λέγεται Ἐπιστήμη, ἀλλὰ περιεχομένη ἐν ὅλῃ τῇ κατὰ φύσιν θεωρίᾳ. ἐπὶ τοῦ παρόντος δὲ ὁ λόγος γίνεται ἐπὶ τῆς ὁλοσχεροῦς Ἐπιστήμης.

Τρίτον προληπτέον, ὅτι τῶν ποιητικῶν ἕξεων αἱ πλείους καταλείπουσιν ἀποτέλεσμά τι οἰκεῖον μετὰ τὴν ἐργασίαν. ὡς ἡ Οἰκοδομικὴ τὴν οἰκίαν, ἡ Σκυτοτομικὴ τὴν ἐμβάδα, καὶ ἄλλαι ἄλλα. οὐδὲν δ' ἧττον εἰσὶ Τέχναι, ὧν οὐδὲν καταλείπεται ἀποτέλεσμα μετὰ τὴν ἐργασίαν, ὡς Ὀρχιστική, Παλαιστική, Κυθαριστική, καὶ ἄλλαι. ὧν εἰσὶ καὶ αἱ περὶ λόγους καταγινόμεναι, Γραμματική, Ῥητορική, καὶ ἡ περὶ ἧς ὁ λόγος Λογικὴ Μέθοδος, οὐ μὴν παρὰ τοῦτο ἀποκλείονται αὗται τῶν ποιητικῶν ἕξεων, ἀλλ' εἰσί τε καὶ λέγονται κυρίως Τέχναι. αἴτιον δὲ τοῦ μὴ καταλείπεσθαί τι μετὰ τὴν ἐργασίαν ἐπὶ τῶν τοιούτων, τὸ μὴ ἐπιδέχεσθαι τὸ σῶμα, περὶ ὃ ἐνεργοῦσι τὰ τούτων κινήματα. ἐθ' ὅτε μὲν τοι γραφῇ παραδιδόμενα τὰ ἀπὸ τῶν λογικῶν Τεχνῶν διαμένει ποιήματα μετὰ τὴν ἐργασίαν, ἀλλὰ τοῦτο γίνεται κατὰ συμβεβηκός.

Τούτων τοιγαροῦν οὕτω προληφθέντων, δέον ἂν ἑπόμενον τὰς λύσεις τῶν ἐπιχειρημάτων ἐπενεγκεῖν, δέον δὲ πρὸ τῶν λύσεων τὴν ἀλήθειαν διορισαίμεθα, οὐκ ἄπο σκοποῦ πεποιηκότες ἐσόμεθα. γνωσθείσης γὰρ τῆς ἀληθείας, ἡ λύσις τῆς ἀντικειμένης δόξης, ἐξ αὐτῆς τῆς θέσεως ἐλεγχθήσεται.

### Διορισμὸς τοῦ ἀληθοῦς.

Ἡ Λογικὴ μέθοδος ἕξις ἐστὶ ποιητική, ἤτοι Τέχνη, καὶ οὐχὶ Ἐπιστήμη θεωρητική. ἔστι τοῦτο δεικνῦμαι πρῶτον ἀπὸ τοῦ Φιλοσόφου, ὃς ἐν τῷ πρώτῳ τῶν πρὸς Θεοδέκτην Ῥητορικῶν κεφαλαίῳ δευτέρῳ τὴν Διαλεκτικὴν, Τέχνην εἶναι βούλεται, ὥσπερ καὶ τὴν Ῥητορικήν. ἡ δὲ Διαλεκτική, Λογική ἐστι. τὴν Λογικὴν ἄρα ὁ Φιλόσοφος Τέχνην εἶναι βούλεται. οὐκ ἔστι δὲ εἰπεῖν, ὅτι πλατύτερον τὸ τῆς Τέχνης ὄνομα ἐκλαμβάνει. οὐ γὰρ ὥσπερ ἡ Ἐπιστήμη ἐθ' ὅτε καὶ ἐπὶ τῆς Τέχνης ἐκτείνεται, οὕτω καὶ ἡ Τέχνη ἐπὶ τῆς Ἐπιστήμης. Ἔτι ἐν τῷ ια. κεφαλαίῳ τοῦ πρώτου τῶν Τοπικῶν, τρία εἶναι τὰ εἴδη τῶν Προβλημάτων, ἤτοι Προτάσεων ὁ Φιλόσοφος διδάσκει, „ λέγων. ἔστι δὲ (ὡς ἐν τύπῳ περιλαβεῖν) τῶν προτάσεων, καὶ τῶν προ- „ βλημάτων μέρη τρία. αἱ μὲν γὰρ ἠθικαὶ προτάσεις εἰσίν, αἱ δὲ φυ- „ σικαί, αἱ δὲ λογικαί. διὰ μὲν τῶν ἠθικῶν τὸ πρακτικὸν μέρος τῆς ἐπικτήτου ἕξεως, διὰ δὲ τῶν φυσικῶν τὸ θεωρητικὸν δηλώσας. λείπεται ἄρα τὰς λογικὰς προτάσεις, εἴγε παρὰ τὰς θεωρητικὰς καὶ πρακτικάς εἰσι, τοῦ ποιητικοῦ μέρους εἶναι. καὶ ἡ Λογικὴ ὁμοίως.

Παρὰ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Παρὰ ταῦτα ἐν τῷ δευτέρῳ τῶν μετὰ τὰ Φυσικά, τρόπον Ἐπιστήμης ὁ Φιλόσοφος τὴν Λογικὴν Μέθοδον ἀποκαλεῖ. καὶ βούλεται πρὸ τῶν Ἐπιστημῶν ταύτην προέχεσθαι τοῖς φιλοσοφοῦσιν. οὐκ ἄρα ἐστὶν Ἐπιστήμη· εἴ γε πρὸ τῶν Ἐπιστημῶν ἐστίν. ἄλλως τε οὔτε ὁ τρόπος τῆς Ἐπιστήμης ἐστὶν Ἐπιστήμη. διδάσκουσι τὴν αὐτὴν ἀλήθειαν μετὰ τοῦ Ἀριστοτέλους τῶν φιλοσοφησάντων Ἑλλήνων, ὧν τὰ συγγράμματα εἰς ἡμᾶς ἥκει, Ἀλέξανδρος ἐν προοιμίῳ τοῦ πρώτου τῶν προτέρων Ἀναλυτικῶν. Ἀμμώνιος ἐν τοῖς πρὸ τῶν Κατηγοριῶν. Φιλόπονος ὁμοίως ἐν ἀρχῇ τῶν προτέρων Ἀναλυτικῶν ὁμολογεῖ παρὰ τοῖς Περιπατητικοῖς, τὴν Λογικὴν μέθοδον, Τέχνην ἀλλ' οὐκ Ἐπιστήμην εἶναι. παρὰ Πλάτωνι μέν τοι ἣν εἰπεῖν Ἐπιστήμην τὴν Λογικὴν, ἀλλ' ἐν χρήσει οὖσαν, καὶ οὐ καθ' ἑαυτήν. τοῖς πράγμασι δηλονότι ἐφαρμοττομένην διὰ τὴν ὕλην ἐν ᾗ ἐφαρμόττεται.

Τούτοις συμμαρτυρεῖ καὶ ὁ ὀρθὸς λόγος. πᾶσα γὰρ ἕξις κανόνας ἡμῖν καὶ μέθοδον παραδιδοῦσα εἰς ἐργασίαν τινὸς, Τέχνη ἐστίν. ἡ Λογικὴ ἕξις παραδίδωσιν ἡμῖν κανόνας, καὶ μέθοδον εἰς ἐργασίαν Συλλογισμῶν, Ἀποδείξεων, καὶ τῶν τοιούτων, ἄρα ἡ Λογικὴ ἕξις Τέχνη ἐστίν. ἀμφότεραι αἱ προτάσεις εἰσὶν ὁμολογούμεναι παρὰ πᾶσιν, καὶ ἀναγκαῖαι. ἀναγκαῖον ἄρα καὶ τὸ συναγόμενον.

Δεύτερον. πᾶσα ἕξις ἧς τὸ ἀποτέλεσμα ἐργασία τινὸς, καὶ οὐ μόνη ἡ γνῶσις τῆς ἀληθείας, Τέχνη ἐστί. τὸ τέλος τῆς Λογικῆς ἕξεως ἐστὶν ἡ ἐργασία τοῦ Συλλογισμοῦ, τῆς Ἀποδείξεως, καὶ τῶν ἄλλων λογικῶν ὀργάνων. ἄρα ἡ Λογικὴ ἕξις Τέχνη ἐστίν. ἡ ἐλάττων πρόδηλος, καὶ ἡ μείζων ἀναμφισβήτητος τοῖς εἰδόσι διακρίνειν θεωρίαν πράξεως, καὶ Ἐπιστήμην Τέχνης. αὕτη γὰρ ἐστι διαφορὰ Ἐπιστήμης πρὸς Τέχνην. ὅτι ἡ μὲν Ἐπιστήμη μόνην ἔχει τέλος τὴν θεωρίαν, καὶ γνῶσιν τοῦ ἀληθοῦς, ἡ δὲ Τέχνη τὴν καθ' αὐτὴν θεωρίαν, ὡς εἰς τέλος ἀναφέρει τὴν ἐργασίαν.

Τρίτον. ἐκ τῆς ὑποκειμένης ὕλης συνάγεται τὸ αὐτό. ἧς γὰρ ἕξεως ἡ ὑποκειμένη ὕλη ποιητόν ἐστι γένος καὶ οὐκ ἐπιστητὸν, αὕτη ἐστὶ τέχνη. ἡ ὕλη περὶ ἣν ἡ Λογικὴ, ποιητόν ἐστι γένος, καὶ οὐκ ἐπιστητόν. ἡ Λογικὴ ἄρα Τέχνη ἐστὶ καὶ οὐκ Ἐπιστήμη. ἡ μείζων ὁμολογουμένη, ἡ ἐλάττων δείκνυται. ποιητὸν ἐστι γένος, τὸ θεωρούμενον καθὸ ἐπιτηδείως ἔχει πρὸς ποίησιν. τοιοῦτον ἐστὶν ἡ ὕλη περὶ ἣν ἡ Λογικὴ, ἄρα ἐστὶ ποιητὸν γένος. δείκνυται ἡ ἐλάττων. ἥτις ποτὲ τῆς Λογικῆς τεθείη ὕλη, φωναὶ, ἢ νοήματα, αὕτη πάντως καθὸ ἐπιτηδείως ἔχει εἰς ποίησιν Συλλογισμοῦ, καὶ Ἀποδείξεως θεωρεῖται. τὸ δὲ οὕτω θεωρούμενον, τεχνητὸν ἐστὶ γένος. ἔστιν ἄρα ποιητὸν γένος, ἤτοι τεχνητὸν, ἡ ὕλη, περὶ ἣν ἡ Λογική.

Καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ
Ε.Ι.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Καὶ ἀπὸ τοῦ εἴδους δηλοῦται τὸ αὐτὸ προφανῶς. πᾶσα Ἐπιστήμη ἐστὶν ἕξις δι᾽ ἀποδείξεως πορίζομένη, ἡ δὲ Λογικὴ οὐκ ἔστιν ἕξις δι᾽ ἀποδείξεως πορίζομένη, ἄρα ἡ Λογικὴ οὐκ ἔστιν Ἐπιστήμη. ἡ μείζων ἐστὶν ὁ τῆς Ἐπιστήμης ὁρισμὸς παρὰ τῷ Φιλοσόφῳ ἐν ἄλλοις τε, καὶ ἐν τῷ ς΄. τῶν Νικομαχειῶν, καὶ παρὰ πᾶσιν ὁμολογουμένη. ἡ ἐλάττων δείκνυται. ἡ πορίζομένη δι᾽ ἀποδείξεως ἕξις, προηγουμένην ἔχει τὴν γνῶσιν τῆς ἀποδείξεως. ἡ Λογικὴ ἕξις οὐκ ἔχει προηγουμένην ἑαυτῆς τὴν γνῶσιν τῆς ἀποδείξεως, ἄρα ἡ Λογικὴ ἕξις οὐ πορίζεται δι᾽ ἀποδείξεως. ἡ μείζων πρόδηλος. τὸ γὰρ διά τινος ὀργάνου γινόμενον, προϋποτίθησι τὸ ὄργανον ὑπάρχον δι᾽ οὗ γίνεται. ἡ ἐλάττων δείκνυται. εἰ ἡ γνῶσις τῆς ἀποδείξεως ὑποτίθησι προϋπάρχουσαν τὴν Λογικὴν ἕξιν, οὐ προηγεῖται ταύτης. ἀλλὰ τὸ ἡγούμενον, ἄρα καὶ τὸ ἑπόμενον. δείκνυται ἡ μετάληψις. ἡ γνῶσις τῆς ἀποδείξεως ὑποτίθησιν ἑαυτῆς προηγουμένην τὴν γνῶσιν τοῦ συλλογισμοῦ, τῶν προτάσεων, καὶ ὅρων, καὶ ἁπλῶς τὴν Ἀναλυτικὴν μέθοδον. ὁ γὰρ ὁρισμὸς μέσον γίνεται ἀποδείξεως. τούτων δὲ ἡ γνῶσις ἀπαρτίζει τὴν Λογικὴν ἕξιν. ἡ γνῶσις ἄρα τῆς ἀποδείξεως ὑποτίθησιν ἑαυτῆς προηγουμένην πᾶσαν τὴν Λογικὴν ἕξιν. καὶ ἀδύνατον ἀκριβῶς ἔχειν τὴν γνῶσιν τῆς ἀποδείξεως τοῖς μὴ ἠκριβωκόσι πᾶσαν τὴν Λογικὴν Μέθοδον.

## Ἀπάντησις πρὸς τὰ ἐπιχειρήματα τῶν ἑτεροδοξούντων.

Τοῦτον τὸν τρόπον τὴν ἀλήθειαν ἐγνωκόσιν, ἔξεστι καὶ τὰς λύσεις τῶν ἐπιχειρημάτων προσφυῶς ἐπιφέρειν. Πρὸς οὖν τὸ πρῶτον ῥητέον. ὅτι ψεῦδος λαμβάνει κεχρῆσθαι λέγον τὴν Λογικὴν ἀποδείξει. δέδεικται γὰρ ὅτι ἡ Λογικὴ ἐργάτις ἐστὶν ἀποδείξεως, καὶ τοῦτο τέλος ποιεῖται τὴν ἀπόδειξιν κατασκευάσασθαι, καὶ τῷ ἐπιστήμονι παραδοῦναι, δι᾽ ἧς τὸ ἀληθὲς τοῦ ψεύδους διακρίνειν οἷοί <sup></sup>ἐστι. ἡνίκα δὲ ἐπιφέρουσιν, (ὅπερ ἐστὶ δεῖξις τῆς ἐλάττονος,) ὅτι ἐπὶ τῆς Λογικῆς δυνατὸν συλλογίσασθαι οὕτω. πᾶσα καθόλου φύσις κατηγορεῖται κατὰ πλειόνων, ἡ γενικὴ, φέρε εἰπεῖν, ἢ ἡ εἰδικὴ ἐστὶ καθόλου, ἄρα κατηγορεῖται κατὰ πλειόνων, ἀπαντητέον οὕτω πρὸς τὰ τοιαῦτα. ὅτι τὸ συλλογίζεσθαι οὕτως, οὐ τοῖς λογικευομένοις ἐστὶν, ἀλλὰ τοῖς φιλοσοφοῦσιν. οἱ γὰρ μανθάνοντες τὴν Λογικὴν, οὐδ᾽ ὅλως ἴσασι τὴν ἀρχὴν, ὁποῖον εἶναι δεῖ τὸν ἀποδεικτικὸν συλλογισμὸν, καὶ τίσι διαφέρει τοῦ μὴ τοιούτου, ἀλλ᾽ ὁ διδάσκων ταύτην Φιλόσο-



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ ... Κ. Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φος, κέχρηται μὲν εἰ τύχῃ ἀποδείξει ἐπὶ τῆς ὑποκειμένης τῇ Λογικῇ ὕλης πρὸς βεβαίωσιν τῶν διδασκομένων, καθάπερ καὶ ἐπὶ ἄλλων Τεχνῶν ἐνδέχεται τοῦτ' αὐτὸ ποιεῖν. οἷον ἐπὶ τῆς Σκυτοτομικῆς εἴτις φαίη, πᾶν ὑπόδημα εἰς φυλακὴν ποδὸς ἐπιτήδειον, ἡ ἐμβὰς ἐστὶν ὑπόδημα, ἄρα ἡ ἐμβὰς εἰς φυλακὴν ποδὸς ἐπιτήδειος. οὐ μὴν παρὰ τοῦτο ἔξεστι τὴν Σκυτοτομικὴν Ἐπιστήμην λέγειν, διὰ τὸ κεχρῆσθαι τὸν τοιοῦτον ἐπ' αὐτῆς τοιᾷδε ἀποδείξει. ὡσαύτως ἄρα οὐδὲ τὴν Λογικὴν ἔξεστιν Ἐπιστήμην λέγειν.

Δεύτερον, ὅπερ ἦν ὅτι ἡ Λογικὴ ἔχει πάντα, ἅπερ εἰς σύστασιν Ἐπιστήμης ἀπαιτεῖται, ὑποκείμενον δηλαδὴ, τέλος, καὶ τρόπον θεωρίας, οὐδὲ λόγου ἀξιωτέον. ἔχει δήπου ὑποκείμενον, ἀλλ' ἐστὶ τεχνητόν. ἔχει καὶ τέλος, ἀλλ' ἔστιν ἐργασία. εἰ δὲ καὶ τρόπον θεωρίας δοίημεν ἔχειν, αὕτη πρὸς τὴν ἐργασίαν ἀναφέρεται, ὡς ἐλέγετο ἀνωτέρω, καὶ οὐ τέλος γίγνεται ἐπ' αὐτῆς, ὥσπερ ἐπὶ τῶν Ἐπιστημῶν. ὁμοίως καὶ τὸ τρίτον λύεται τοῖς πρὸς τὸ δεύτερον ἀπαντήμασιν. ἀληθὲς μὲν ἐστιν ὅτι κέχρηται θεωρίᾳ ἡ Λογικὴ ἐπὶ τῆς οἰκείας ὕλης, ὥσπερ καὶ αἱ λοιπαὶ τῶν Τεχνῶν, οὐ μὴν τὴν φύσιν τῆς ὑποκειμένης αὐτῇ ὕλης διαγνῶναι βούλεται διὰ τῆς τοιαύτης θεωρίας, ἀλλ' ἐφ' ὅσον μόνον γνοίη εἰ ἐπιτηδείως ἔχῃ πρὸς ὑποδοχὴν τοῦ σχηματισμοῦ, ἀφ' ἧς ἐπὶ τὴν ἐργασίαν φέρεται, ὥσπερ καὶ ἡ Σκυτοτομικὴ προθεωρεῖ τὰ ὑποκείμενα αὐτῇ δέρματα, εἰ ἐπιτηδείως πρὸς κατασκευὴν ἐμβάδος ἔχει. καὶ οὕτως ἀναιρεθήσονται πᾶσαι αἱ τῶν ἀντικειμένων δόξαι. εἰ δὲ καὶ τισιν ἄλλοις ἐπιχειρήμασι τὸ τοιοῦτον σαθρὸν δόγμα συστῆσαι διισχυρίζονται οἱ τὰ τοιαῦτα κενοφωνοῦντες, ἔνεστι διὰ τῶν ἀνωτέρω ῥηθέντων ἀμαρῶς ἐπιφέρειν λύσεις πρὸς τὰ τοιαῦτα. Δέδεικται τοίνυν τὴν Λογικὴν Μέθοδον, πρῶτον μὲν ἐπὶ τὴν ἐπίκτητον ἕξιν ἀνάγεσθαι ὡς εἰς γένος ἀνώτερον. εἶτα καὶ ἀπὸ τῆς ὑποκειμένης αὐτῇ ὕλης, καὶ τοῦ τέλους, ὑπὸ τὴν Τέχνην ὡς εἰς γένος προσεχὲς, καὶ διὰ πολλῶν ἀποδείξεων τὰς ματαιολογίας τῶν νεωτέρων διέδρα. ἀλλὰ καὶ τῆς Τέχνης κοινότατα εἰς δύο γένη διανεμομένης, ἀναγκαῖον ἂν εἴη καὶ ὑπὸ ποῖον τούτων ὑπάγεται διορίσασθαι.

Τῶν Τεχνῶν τοίνυν αἱ μὲν εἰσὶν ὀργανικαὶ, αἱ δὲ Ἀρχιτεκτονικαί. καὶ ὀργανικαὶ μὲν εἰσιν, ὧν τὸ τέλος, ἤτοι τὸ ἔργον ἑτέρᾳ τινὶ Τέχνῃ, ἢ Ἐπιστήμῃ ὑπηρετεῖ. καὶ αἱ τοιαῦται ὑπὸ τὸ ὀργανικὸν γένος τῆς Τέχνης ὑπάγονται. αἱ δὲ εἰσὶν Ἀρχιτεκτονικαὶ, ὧν τὸ ἔργον, ἤτοι τὸ τέλος, οὐδεμιᾷ ἑτέρᾳ ὑπηρετεῖ ἕξει, ἀλλὰ καθ' ἑαυτὰς εἰσὶν αἱρεταί. αἵπερ ὑπὸ τὸ ἀρχιτεκτονικὸν γένος τῆς Τέχνης ὑπάγονται.

Ἡ Λογικὴ τοιγαροῦν ὡς μὲν Τέχνη ὑπὸ τὴν Τέχνην ὑπάγεται ὡς εἴρηται, ὡς δὲ Ὀργανικὴ, ὑπὸ τὸ ὀργανικὸν γένος. ὑπηρετεῖ γὰρ τῇ Φιλοσοφίᾳ, καὶ τὸ οἰκεῖον τέλος, ἤτοι τὴν ἀπόδειξιν ἐγχειρίζει ἐκείνῃ, δι' ἧς ὁ Φιλόσοφος διακρίνει τοῦ ψεύδους τὸ ἀληθές. ὅθεν καὶ κοινότερον ὄργανον Φιλοσοφίας ἐπιγράφεται. ἀλλὰ καὶ τὰ πρὸ τῆς ἀποδείξεως πάντα τοῖς φιλοσοφοῦσιν ἡ Λογικὴ ἐγχειρίζει. ἅπερ εἰσὶν ἡ Διαιρετικὴ Μέθοδος, Ὁριστικὴ, Συλλογιστικὴ, καὶ Ἀναλυτικὴ, μεθ' ἃς καὶ ἡ Ἀποδεικτική. ἃς ὄργανα, καὶ μεθόδους ἀποκαλοῦσιν οἱ φιλοσοφοῦντες.

## Ὁρισμὸς τῆς Λογικῆς Μεθόδου.

ἘΓνωκόσιν ἐς τόδε τό, τε πόῤῥω καὶ προσεχὲς γένος τῆς Λογικῆς μεθόδου, τήν τε ὕλην, καὶ τέλος αὐτῆς, νῦν ἤδη ἔξεστι τὸ ἐν ἀρχῇ ζητηθὲν συναγαγεῖν, τὸν ὁρισμὸν φημὶ τῆς αὐτῆς. τοιγαροῦν ἡ Λογικὴ μέθοδος, κατὰ τὰ δεδειγμένα, Τέχνη ἐστὶ Φιλοσοφίας ὀργανικὴ, περὶ τὰ παθήματα τῶν διανοητικῶν δυνάμεων τῆς ἡμετέρας ψυχῆς πρώτως καταγινομένη, τέλος ἔχουσα σκοπιμώτατον μὲν τὴν γνῶσιν, καὶ σύνθεσιν τῆς ἀποδείξεως, γενικώτερον δὲ τὸν συλλογισμόν. ἢ καὶ οὕτως. Ἡ Λογικὴ ἕξις Τέχνη ἐστὶ Φιλοσοφίας ὀργανικὴ, περὶ φωνὰς καταγινομένη δηλωτικὰς τῶν πραγμάτων διὰ τῶν νοημάτων, παραδιδοῦσα ἡμῖν κανόνας, καθ' οὓς ἐκ τῶν τοιούτων φωνῶν κατασκευάζεται τὰ λογικὰ ὄργανα, οἷς κέχρηται ἡ Φιλοσοφία εἰς διάκρισιν ἀληθείας καὶ ψεύδους. εἰ δὲ βούλεσθε ταύτην βραχυτέροις ἐκθέσθαι ῥήμασι, Τέχνην συλλογιστικὴν εἴπατε. ἢ καὶ οὕτως. Ἡ Λογικὴ ἐστὶν ἕξις ἐπίκτητος νοερὰ, ἤτοι Τέχνη Φιλοσοφίας ὀργανικὴ, περὶ πάντα τὰ ὄντα καταγινομένη, τέλος ἔχουσα καθόλου τὸν ἐν γένει συλλογισμὸν, ἐξαίρετον δὲ τὴν ἀπόδειξιν, ὑπὸ τῶν φιλοσοφούντων εὑρεθεῖσα ὡς ὄργανον ἀκριβέστατον, δι' οὗ τῶν ὄντων ἡ γνῶσις εὐχερῶς καταλαμβάνεται.

## Περὶ τῆς κατὰ νεωτέρους διαιρέσεως τῆς Λογικῆς εἰς χρωμένην, ὥς φασι, καὶ διδάσκουσαν.

ΜΕτὰ τὴν ἀπόδοσιν τῶν ὁρισμῶν τῆς Λογικῆς, ἦν ἂν ἑπόμενον τὴν εἰς τὰ μέρη αὐτῆς διαίρεσιν παραδοῦναι, καὶ κατὰ τάξιν ἀρξαμένους ἀπὸ τῶν ἁπλουστέρων προϊέναι ἐπὶ τὰ συνθετώτερα. ἀλλ' ἵνα μὴ μεταξὺ ἐκταραττώμεθα ἐνοχλούμενοι ὑπὸ τῶν πάντα προχειροτάτων νεωτερισμῶν, φέρε ὡς ἐν βραχεῖ ὀλίγ' ἄττα καὶ περὶ τῆς διαιρέσεως διαλαβεῖν, ἣν αὐτοὶ



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

παρακεκινημένως ἐπινενοήκασιν. ἀμέλει τὴν Λογικὴν μέθοδον οἱ νεώτεροι εἰς Λογικὰς διαφόρους διχοτομοῦσιν. ὧν τὸ μὲν ἕτερον μέρος χρωμένην καλοῦσι Λογικὴν, κἂν ταῖς πρακτικαῖς τάττουσιν ἕξεσιν, συγχέοντες κἂν τούτῳ τὸ πρακτικὸν, καὶ ποιητικόν. θάτερον δὲ διχοτόμημα, τῷ θεωρητικῷ μέρει τῆς Φιλοσοφίας ἀποκληροῦσι, καὶ Ἐπιστήμην εἶναι βούλονται. ὥσπερ εἴτις τὸν Ἵππον διχοτομήσας κατὰ τοὺς ἐν μύθῳ Κενταύρους, τὸ μὲν αὐτοῦ Ἄνθρωπον εἶναι φήσειε, τὸ δ᾽ αὖθις Ἵππον. ἴσι δὲ τὸ κινῆσαν αὐτοὺς εἰς τὴν τοιαύτην διχοτόμησιν, ὅτι βουλομένοις τὴν Λογικὴν μέθοδον ἐν Ἐπιστήμαις τετάχθαι, οὐκ ἄλλως ἐδόκει, ἢ διὰ τῆς διαιρέσεως ταύτης τὸ δόγμα συστῆσαι. ὅπως δὲ χρὴ τὴν διαίρεσιν ταύτην ἐννοεῖν, οὐδ᾽ αὐτοὶ παρὰ σφίσιν αὐτοῖς ἀναπλάσαι οἷοίτε γίνονται. κατ᾽ ἐκεῖνο μέν τοι κοινότερον συμφωνοῦσιν, ὅτι τὴν Λογικὴν μέθοδον ἐνδέχεται διχῶς ἐννοεῖν, ἢ καθ᾽ ὅσον συντίθησι συλλογισμὸν, ἀπόδειξιν, καὶ τὰ τοιαῦτα, ἢ καθ᾽ ὅσον θεωρεῖ τὸν τρόπον τῆς συνθέσεως τούτων, ἐπικρίνουσα περὶ τούτων ἢ ὑγιῶς ἔχει, εἰμὴ, καὶ διδάσκουσα. κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον συνιστᾶται φασὶν, ἣν καλοῦσι χρωμένην Λογικήν. κατὰ δὲ τὸν δεύτερον τρόπον τὴν λοιπὴν συνιστῶσιν, ἣν διδάσκουσαν ὀνομάζουσι.

Φαίνεται δὲ καὶ Πλάτων τοιαύτην τινὰ τίθεσθαι τῆς μεθόδου διαίρεσιν, ἀλλὰ πολὺ τῇ κατὰ Πλάτωνα διαιρέσει ἀντιβαίνουσιν οἱ νεώτεροι. ἐκεῖνος μὲν γὰρ οὐ διδάσκουσαν καὶ χρωμένην, ἀλλὰ διδακτικὴν καὶ ἐν χρήσει ὠνόμαζεν. ἔπειτα οὐδ᾽ ὅλως ἐδιχοτόμει, ἀλλὰ διχῶς ἐθεώρει. ἢ γὰρ χρώμεθα ταύτῃ, ἐν χρήσει λογικὴν ἔλεγεν, ἢ δὲ διδασκόμεθα, διδακτικὴν ὠνόμαζε, καθ᾽ ἑαυτὴν δηλονότι θεωρῶν, καὶ καθὸ παρὰ τοῦ διδασκοντος πορίζόμεθα. ἐν χρήσει δὲ Λογικὴν ἐκάλει τὴν ἐφαρμοττομένην ἤδη τοῖς πράγμασι, καὶ καθὸ ταύτῃ ἐπὶ τῶν Ἐπιστημῶν χρώμεθα. παρὰ ταῦτα ἐκεῖνος τὴν ἐν χρήσει ἔλεγεν εἶναι Ἐπιστήμην, οὐκ ἄλλην, ἢ ἧς ἐστὶν ἡ ὕλη ἐφ᾽ ἧς χρώμεθα ταύτῃ, ὡς καὶ ἀνωτέρω (1) ἐλέγετο. καθὸ δὲ διδακτικὴν, καὶ καθ᾽ ἑαυτὴν, οὐκ Ἐπιστήμην, ἀλλὰ Τέχνην ἐτίθετο.

Εἰς σαφεστέραν δὲ κατάληψιν τῶν ῥηθησομένων, ὀλίγα τινὰ περὶ διαιρέσεως ἀναληπτέον, εἰ καὶ ἐν τοῖς ἔμπροσθεν ἱκανῶς περὶ διαιρέσεως εἴρηται, ἀλλ᾽ οὖν ἐνταῦθα ὡς ἐνὶ συντετμημένως τῇ ἑρμηνείᾳ χρησόμεθα, τὰ καθολικώτερα μόνον, καὶ ἐφ᾽ ἃ πᾶσαι αἱ λοιπαὶ τῶν διαιρέσεων ἀναφέρονται, ἀναλαμβάνοντες κατὰ νοῦν.

Τρι-

(1) Πρὸ τούτων [illegible] εἴρηται. παρὰ Πλάτωνι μέν τοι [illegible] Ἐπιστήμῃ [illegible] Λογικῆς [illegible] ἐφαρμόζεται.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τρίτη παρὰ τοῖς Φιλοσόφοις ἡ διαίρεσις φέρεται, τοῦ καθόλου εἰς τὰ ὑφ' αὐτό, τοῦ ὅλου εἰς τὰ ἐνόντα μέρη, καὶ τῆς ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα. ἀλλὰ κυρίως ἀπὸ τοῦ ὅλου ῥηθείη. ἡ γὰρ διαίρεσις πάθος οὖσα ποσοῦ, τῷ ὅλῳ ὡς συνεχεῖ ὄντι ποσῷ ἐφαρμόττει κυρίως, καὶ ἐπ' αὐτοῦ θεωρεῖται διχῶς. ἢ γὰρ εἰς μέρη ὁμοιομερῆ γίνεται, ἐφ' ὧν τὰ μέρη καὶ ἀλλήλοις ὅμοια καὶ τῷ ὅλῳ, ἢ εἰς ἀνομοιομερῆ, ὡς τὸ ὅλον ζῶον εἰς κεφαλήν, χεῖρας, πόδας, ἃ καὶ ἀλλήλοις εἰσὶ καὶ τῷ ὅλῳ ἀνόμοια. ἐπὶ δὲ τῆς ὁμωνύμου φωνῆς ἡ διαίρεσις τῶν σημαινομένων μᾶλλον ἐστίν, ἢ τῆς φωνῆς. τὰ γὰρ πράγματα εἰσὶν ἀλλήλων ἀντιδιαστελλόμενα, ἡ δὲ φωνὴ ἡ αὐτὴ μένουσα ὁλόκληρος, ἑκάστῳ τῶν σημαινομένων ἀπονέμεται. ἀλλ' οὐδὲ τῶν καθόλου ἡ διαίρεσις ἐφαρμόττει καθ' αὑτό, ἀλλ' ἢ κατὰ μετοχὴν ποσότητος, ἥτις κατὰ τὴν διαφορὰν καὶ ἑτερότητα τῶν ὄντων θεωρεῖται. ἡ κατὰ τὴν ἑτερότητα τοιγαροῦν καὶ διαφορὰν τῶν ὄντων διαίρεσις, ξυμμερὴς κεῖται παρὰ πᾶσιν. ἢ γὰρ μόνῳ τῷ ἀριθμῷ φαίνεται, ὡς ἐπὶ τῶν ἀτόμων τοῦ αὐτοῦ εἴδους, ἢ καὶ τῷ εἴδει, ὡς ἐπὶ τῶν ὑπὸ τὸ αὐτὸ γένος εἰδῶν, ἢ καὶ τῷ γένει, ὡς ἐπὶ τῶν ἑτερογενῶν. καὶ τοῦτο διχῶς, ἢ τῶν ὑπ' ἄλληλα τεταγμένων, ἢ τῶν πάντη ἑτέρων, καὶ ὑπὸ διαφόρους τελούντων κατηγορίας. τούτων τοίνυν ὅσα μὲν τῷ ἀριθμῷ μὴ διαφέρει, πολὺ μᾶλλον οὐδὲ τῷ εἴδει, ὡς Πάρις καὶ Ἀλέξανδρος, ἅπερ τῷ ἀριθμῷ ἓν ὑφεστηκὸς ἄτομον σημαίνουσι, καὶ ὑπὸ ἓν εἶδος ὄν. καὶ ὅσα μὴ τῷ εἴδει, οὐδὲ τῷ γένει. οἷον, Πάρις, καὶ Ἕκτωρ ἄνθρωποι ὄντες, καὶ ζῶα εἰσίν. ἐξ ἐναντίας δὲ ὅσα τῷ γένει διενήνοχε, πολλῷ μᾶλλον τῷ εἴδει, καὶ τῷ ἀριθμῷ. ὡς ἡ Συκῆ, καὶ ὁ ἵππος, ἅπερ γενῶν διαφόρων ὄντα, καὶ διαφόρων εἰδῶν, καὶ ἀριθμοῦ εἰσί. καὶ αὖθις ὅσα μὲν τῷ ἀριθμῷ διαφέρει, οὐκ ἀναγκαίως καὶ τῷ εἴδει. ὡς Ἕκτωρ καὶ Πάρις, τῷ ἀριθμῷ μὲν διαφέρουσιν, οὐ μὴν καὶ τῷ εἴδει. ἄνθρωποι γὰρ ἀμφότεροι. οὐδ' ὅσα τῷ εἴδει, ἀναγκαίως καὶ τῷ γένει. ὡς Ἄνθρωπος, καὶ Ἵππος. οὗτοι γὰρ διαφέρουσι μὲν τῷ εἴδει, τῷ γένει δὲ εἰσὶ ταυτοί. ὑπὸ τὸ ζῶον γάρ. ἐξ ἐναντίας δὲ ὅσα εἰσὶ τῷ γένει ταυτά, οὐκ ἀναγκαίως καὶ τῷ εἴδει, τῷ ἀριθμῷ δὲ ἀναγκαίως οὐ ταυτά. ὡς ὁ ῥηθεὶς Ἄνθρωπος καὶ Ἵππος. οὐδ' ὅσα τῷ εἴδει ταυτά, ἤδη καὶ τῷ ἀριθμῷ εἰσὶ ταυτά.

Πρὸς τούτοις εἰδέναι δέον, ὅτι ἐπὶ τῶν πραγμάτων πολλὰ ὑφίσταται τῶν διαφερόντων τε γένει, καὶ εἴδει ἐν τῷ αὐτῷ ὑποκειμένῳ, ἅπερ ἓν τῷ ἀριθμῷ λέγεται, ὡς ἡ πρώτη οὐσία. ἥτις ὑπόκειται πᾶσι τοῖς ἄλλοις, τοῖς μὲν εἰς κατηγορίαν, τοῖς δὲ εἰς ὕπαρξιν, διακρίνεται μέν τοι τοῖς ὁριστικοῖς λόγοις.

Διαι-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Δεύτερον εἰς μνήμην ἀναληπτέον τὰ ἐν ἀρχῇ εἰρημένα περὶ τῶν ἕξεων. ὅτι ἡ ἐπίκτητος ἕξις, γένος ἐστὶν ἀντιδιαιρούμενον προσεχῶς τρισὶ τούτοις εἴδεσι, θεωρητικῇ, πρακτικῇ, ϗ ποιητικῇ. ἅπερ ἀντιδιαστέλλεται ἀλήλλων συστατικαῖς ϗ εἰδοποιοῖς διαφοραῖς.

Παρὰ ταῦτα, ὅτι αἱ ἕξεις διακρίνονται ἀπὸ τῶν ἰδίων ἐνεργειῶν, καὶ τῶν ἀντικειμένων περὶ ἃ ἐνεργοῦσιν. οὕτως ὁ Φιλόσοφος ἐν τῷ γ΄. τῶν περὶ Ψυχῆς, κεφαλαίῳ ε΄. διαιρεῖσθαι διδάσκει τὸν Νοῦν ἀπὸ τῶν πραγμάτων περὶ ἃ ἐνεργεῖ.

Τελευταῖον ὅτι μία Ἐπιστήμη, ϗ ἁπλῶς μία ἕξις ἐστὶν ἡ ἑνὸς γένους, ἡ περὶ μίαν ὕλην ἐνεργοῦσα, ὡς ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν ὑστέρων Ἀναλυτικῶν, κεφαλαίῳ κη΄. διδάσκει. οὗ δὲ γένος ἐπιστητόν ἐστιν, οὗ εἷς ὁ τρόπος τῆς θεωρίας, ϗ μία ὕλη τεχνιτὴ, ἡ εἰς ἓν τέλος ἀναφερομένη τεχνητὴν, ὡς ἀνωτέρω ἐλέγετο.

## Διορισμὸς τοῦ προβλήματος.

Τὴν Λογικὴν εἰς δύο Λογικὰς διχοτομεῖν, ϗ τὴν μὲν ἑτέραν Ἐπιστήμην οἴεσθαι, τὴν δὲ λοιπὴν Τέχνην, οὐ μόνον ἐστὶ παράλογον, ἀλλὰ ϗ γελοῖον ἐς τὸ παντελές.

Πολλὰς οἱ νεώτεροι διαιρέσεις ἐπινοοῦσι, τὴν ἐκτεθεῖσαν συστῆσαι πειρώμενοι διαίρεσιν, κακῷ τὸ κακὸν, τὸ τοῦ λόγου, ἰώμενοι, ἀλλ᾽ ἐς δύο ταύτας πάσας ἐστὶν ἀναγαγεῖν. ἢ γὰρ τὰς διαφόρους ταύτας Λογικὰς, ϗ διαφόρους ἕξεις τίθενται εἶναι, ἢ μίαν ἕξιν ἀμφοτέρας ὑποτιθέμενοι, τῷ λόγῳ ὁποσοῦν ἄλλως διχοτομίαν ἐννοοῦσιν. ἀλλ᾽ οὐδετέρως ἐνδέχεται πιθανῶς εἰπεῖν. μίαν γὰρ ἕξιν τιθεμένοις, συμβαίνει τὴν αὐτὴν λέγειν ποιητικὴν, καὶ θεωρητικὴν, Τέχνην δηλαδὴ, καὶ Ἐπιστήμην, ὅπερ ἀδύνατον. τὰ γὰρ διαφέροντα τῷ γένει, ἀδύνατον ἓν εἶναι τῷ εἴδει. ὥσπερ τὰ διαφέροντα τῷ εἴδει, ἀδύνατον ἓν εἶναι τῷ ἀριθμῷ. τὸ δὲ ποιητικὸν ϗ τὸ θεωρητικὸν, ἡ Τέχνη δηλαδὴ καὶ Ἐπιστήμη, διαφέρουσι τῷ γένει. ἀδύνατον ἄρα ἓν εἶναι τῷ εἴδει, ἢ τῷ ἀριθμῷ.

Ἡ μείζων πρόδηλος καὶ παρὰ πᾶσιν ὁμολογουμένη. τὰ γὰρ διαφέροντα τῷ γένει, ἐνδέχεται μὲν τῷ αὐτῷ ἐνυπάρχειν ὑποκειμένῳ, καθ᾽ αὑτὰ δὲ θεωρούμενα, οὐκ ἄν ποτε γένοιντο εἴδει ἢ τῷ ἀριθμῷ τὰ αὐτά. ἡ ἐλάττων ὁμοίως ἐστὶ παρὰ πᾶσιν ὁμολογουμένη, ϗ δεδήλωται ἀνωτέρω. ἀδύνατον ἄρα μίαν ἕξιν οὖσαν ϗ τὴν αὐτὴν, Τέχνην ἅμα εἶναι, ϗ Ἐπιστήμην. Δεύτερον αὐτοῖς συμβαίνει, ὃ ϗ γελοῖον, διχοτομεῖν δηλαδὴ κα-

τὰ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰ ταυτὰ, καὶ τὰς λοιπὰς Τέχνας. πάσαις γὰρ πρόσεςι μετὰ τῆς πράξεως θεωρία, καὶ ἄρχεται ἡ πρᾶξις ὅθεν ἡ θεωρία λήγει, ὡς τὸ κοινὸν ἀξίωμα βούλεται τῶν Φιλοσόφων. ἔςαι ἄρα ἡ Σκυτοτομικὴ δύο, οὐ μία Τέχνη, καὶ ἡ Χαλκευτικὴ ὁμοίως. καὶ ἔςαι ἅμα ἡ Σκυτοτομικὴ, Τέχνη καὶ Ἐπιςήμη, καὶ αἱ λοιπαὶ ὡσαύτως. οὗ τί γελοιότερον;

Δύο δὲ εἰ λέγοιεν ἕξεις, παραλογώτερα τὰ συμβαίνοντα. πρῶτον μὲν ὅτι πολυπλασιάζουσιν ἐκτὸς ἀνάγκης τὰ ὄντα. οὐδεμία γὰρ ἀνάγκη δευτέρας ἕξεως εἰς πορισμὸν τῶν ἐπὶ τὴν Λογικὴν μέθοδον ἀνηκόντων. ὁ γὰρ εἰδὼς, φέρε εἰπεῖν, τὸν τρόπον τῆς συνθέσεως συλλογισμοῦ, καὶ ἀποδείξεως (ὅπερ ἐςὶν ὥς φασι τῆς διδασκούσης Λογικῆς) οὗτος καὶ συνθήσεται ῥαδίως συλλογισμὸν, καὶ ἀπόδειξιν ἄνευ ἑτέρας ἕξεως. οὐκ ἄρα ἐςὶ χρεία τῆς χρωμένης τοῖς ἔχουσι τὴν διδάσκουσαν. καὶ ἐξ ἐναντίας, εἴτις ὑγιῶς τίθησι συλλογισμὸν, καὶ ἀπόδειξιν, (ὅπερ ἐςὶ τῆς χρωμένης κατ᾽ αὐτοὺς Λογικῆς) οἶδε πάντως καὶ τὸν τρόπον τῆς συνθέσεως αὐτῶν. τοῖς ἄρα ἔχουσι τὴν χρωμένην, οὐ χρεία ἐςὶ τῆς διδασκούσης. ἁπλῶς δὲ τοῦτο πάσης ἐςὶ Τέχνης κοινόν. ὁ γὰρ ἐνεργῶν κατὰ Τέχνην, οἶδε καὶ ὅπως δεῖ κατὰ Τέχνην ἐνεργεῖν. καὶ ἀνάπαλιν ὁ εἰδὼς ὅπως δεῖ κατὰ Τέχνην ἐνεργεῖν, πάντως καὶ κατὰ Τέχνην ἐνεργεῖ, μηδενὸς ἄλλου κωλύοντος.

Δεύτερον. εἰ διάφοροι ἦσαν ἕξεις, καὶ ὑπὸ διαφόρων ἐνεργειῶν ἐπορίζοντο. ἀλλ᾽ οὐ πορίζονται ὑπὸ διαφόρων ἐνεργειῶν, οὐκ εἰσὶν ἄρα διάφοροι ἕξεις. δείκνυται ἡ μετάληψις. μανθάνοντες γὰρ ὅπως δεῖ συντιθέναι συλλογισμὸν, ἀπόδειξιν, καὶ τὰ τοιαῦτα, ἅμα καὶ συντιθέναι γινώσκομεν. Παρὰ ταῦτα, εἰ δύο ἦσαν ἕξεις, δυνατὸν ἦν γενέσθαι θατέραν θατέρας χωρίς. ἀλλὰ τοῦτο ἀδύνατον, ἄρα καὶ τὸ ἐξ οὗ ἕπεται. τὸ συνημμένον δείκνυται ἐπαγωγῇ. τὰς γὰρ διαφόρους ἕξεις ὁρῶμεν πολλάκις χωρὶς ἀλλήλων γινομένας. εἰ οὖν καὶ αἱ καθ᾽ αὐτοὺς ἕξεις διάφοροι ἦσαν, ἐγίγνοντο ἂν χωρὶς ἀλλήλων. ἡ μετάληψις καθ᾽ ἑαυτὴν προφανής. ὁ γὰρ λόγος τῆς Τέχνης ἀναγκαίως ἔχει καὶ τὸ δύνασθαι ἐνεργεῖν, (μηδενὸς ὄντος κωλύοντος) καὶ τὸ κατὰ Τέχνην ἐνεργεῖν, ἀναγκαίως ἔχει καὶ τὸν κατὰ Τέχνην λόγον. ὅλως οὖν ἐςὶ γελοία ἡ τοιαύτη τῆς Λογικῆς μεθόδου διαίρεσις. ἀξιοῖ γὰρ Τέχνην ἄλογον δίδοσθαι, καὶ λόγον τεχνικὸν μὲν ὄντα, μὴ ποιητικὸν εἶναι. ἀλλ᾽ αἱ τούτων παραδοξολογίαι, καὶ αὗται ἑαυταῖς πρὸς ἀνατροπὴν ἱκαναί. λείπεται τοιγαροῦν, ἐξ ὧν ἐδείχθη, τὴν Λογικὴν Τέχνην εἶναι μόνον, καὶ οὐχ᾽ ἅμα Τέχνην καὶ Ἐπιςήμην, κατὰ τὰς τερατολογίας τῶν Νεωτεριςῶν.

Ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Ἐπιχειρήματα τῶν λεγόντων τὴν Λογικὴν μέθοδον μέρος τῆς Φιλοσοφίας, καὶ ἐπίλυσις τῶν αὐτῶν.

ΟΥ̓ μετρίως καὶ τῶν πάλαι φιλοσοφησάντων οἱ ἐπισημότεροι διηνέχθησαν περὶ τῆς Λογικῆς πραγματείας, οἱ μὲν ὄργανον ταύτην Φιλοσοφίας ἀποκαλοῦντες, οἱ δὲ μέρος ταύτης ἀποφαινόμενοι. καὶ ὄργανον μὲν ἔλεγον ταύτην εἶναι πάντες οἱ ἐκ τοῦ Περιπάτου κατηγόμενοι, (ὥσπερ καὶ ἐστίν.) οἱ δὲ λέγοντες μέρος εἶναι, ἐκ τῆς περιβοήτου Στοᾶς ἐκατάγοντο. ὁ δὲ Πλάτων ἐν χρήσει καὶ διδακτικὴν ὀνομάζων, καὶ μέρος καὶ ὄργανον ταύτην φαίνεται ἀποδεχόμενος. ὡς διδακτικὴν μὲν ὄργανον, οἷα καὶ Τέχνην. ὡς ἐν χρήσει δὲ μέρος τῆς Φιλοσοφίας ἐκείνης, ἧς τῇ ὕλῃ ἐφαρμόττεται. ἐγύμναζε δὲ τὸ λεγόμενον καὶ ἐπὶ παραδείγματος ούτωσί. ἡ Χεὶρ ἐστὶ μὲν ὄργανον δόσεως καὶ λήψεως, ἔστι δὲ καὶ μέρος τοῦ ὅλου σώματος. ἢ καὶ οὕτως. ὁ Ξέστης ἐστὶ διττὸς, ὁ μὲν μετρῶν, ὁ δὲ μετρούμενος. καὶ ὁ μὲν μετρῶν ὄργανον ἐστὶ τῆς μετρήσεως, ὁ δὲ μετρούμενος μέρος τοῦ ὅλου ὑγροῦ. τί οὖν κωλύει καὶ τὴν Λογικὴν Μέθοδον, ὡς μὲν ποιητικὴν ὄργανον συλλογισμοῦ εἶναι, ὡς δὲ τῇ ἐπιστητῇ ὕλῃ ἐφαρμοττομένην, καὶ μέρος ἐκείνης τῆς Ἐπιστήμης εἶναι; Ἔστι μὲν οὖν ἕνα τρόπον διὰ τὸ ἀξιωματικὸν τοῦ ἀνδρὸς, καὶ ὡς εἰπεῖν αἰδέσιμον παρὰ πᾶσιν, σιωπὴν προτιμῆσαι ἀπολογίας. καθ' ἕτερον δὲ τρόπον διανοουμένοις, θεραπευτέον διάτινος βραχείας ἐπιλύσεως τὸ, τε λεγόμενον, καὶ ἡμᾶς. ῥητέον δὲ οὕτω.

Μέρος καὶ ὄργανον ὁ Πλάτων ταύτην ἀπεφαίνετο, μήπω ταύτην ἀκριβῶς ἐξετάσας, καὶ ἐπιμελέστερον. οἱ γὰρ πρὸ Πλάτωνος φιλοσοφήσαντες, ἐχρῶντο μὲν ἀποδείξεσιν, ἀλλ' οὐκ εἴδεσαν τὸν τρόπον τῆς συνθέσεως τούτων, οὔτε τὴν Λογικὴν διακεκριμένως ἐγίνωσκον ὡς Τέχνην, ἢ Ἐπιστήμην. ὁ δὲ Πλάτων ἀτενέστερον διανοηθεὶς, κατά τι μὲν Ἐπιστήμην, κατά τι δὲ Τέχνην ἐνόησε, μεθ' ὃν ὁ Ἀριστοτέλης ταῖς ἐκείνου περὶ αὐτῆς ἑρμηνείαις χειραγωγούμενος, κἀκείνου καὶ πάντων τῶν προγενεστέρων, ὀρθότερον περὶ ταύτης διέγνωκε, καὶ ἐς τέλος ἀπηκριβώσατο, καὶ τὴν ἀναλυτικὴν ἐπιμελῶς διωρθώσατο, καὶ πασῶν τῶν λοιπῶν ἕξεων διακρίνας, λόγοις ἀποδεικτικοῖς ὑπὸ τὴν Τέχνην ἀσφαλῶς, καὶ ἀληθῶς εἶναι διωρίσατο.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Λύσις τῶν ἐπιχειρημάτων.

Πρὸς δὲ τὰ ἐπιχειρήματα, οὑτωσὶ διὰ βραχέων ἀπαντητέον. ἔστι μὲν ἡ Χεὶρ δήπου ὄργανον, καὶ μέρος τοῦ ὅλου σώματος, ἀλλὰ τοῦτο μὲν ἐπὶ τῶν σωμάτων, καὶ τούτων μόνον ἐπὶ τῶν ὀργανικῶν. αἱ δὲ Ἐπιστῆμαι, καὶ ἁπλῶς αἱ ἕξεις, οὔτε σωματικαί εἰσι, οὔτε ὀργανικά. ὁ δὲ Ξέστης, ὅτι μὲν ὄργανόν ἐστι τῆς μετρήσεως, ἀληθές. ὅτι δὲ μέρος, οὐκ ἀληθές. εἰ δὲ τὸ ἐν τῷ Ξέστῃ ὑγρὸν ἐννοοίη, τοῦτο δ' αὖ ἐστὶ μὲν ἀληθῶς μέρος τοῦ ὑγροῦ, οὐ μὴν μέτρον. μέτρον γάρ ἐστι τὸ ἀγγεῖον, ὃ καὶ Ξέστης κατονομάζεται. οἱ δὲ Στωϊκοὶ τὴν ἑαυτῶν δόξαν, διὰ δύο ἐπιχειρημάτων κατασκευάζουσιν, ὡς φαίνεται παρὰ Ἀμμωνίῳ. ὧν ἡ μὲν πρώτη προέρχεται τοῦτον τὸν τρόπον. πᾶν τὸ κεχρημένον τινὶ, ἐὰν ἐκεῖνο ᾧ χρῆται τὸ χρώμενον, μήτε μέρος ἐστὶν ἄλλου, μήτε μόριον, ἐξ ἀνάγκης ἢ μέρος ἐστὶν, ἢ μόριον τοῦ αὐτοῦ. Εἰ οὖν τῇ Λογικῇ κέχρηται ἡ Φιλοσοφία, αὕτη δὲ οὐκ ἔστιν ἑτέρας Ἐπιστήμης μέρος, ἢ μόριον, ἔσται ἄρα τῆς Φιλοσοφίας. τοιαύτη μὲν οὖν ἐστὶν ἡ πρώτη αὐτῶν ἐπιχείρησις, ἥτις ἐπιλύεται οὕτως παρὰ τῷ Ἀμμωνίῳ. εἰ γάρ τις ἀντιστρέψας τὸν λόγον ἐρεῖ, ἐπειδὴ ἡ Γραμματικὴ, καὶ ἡ Ἰατρικὴ χρῶνται τῇ Λογικῇ, ἡ μὲν διὰ τὸ δεῖξαι τοὺς ἑαυτῆς κανόνας ὀρθῶς ἔχοντας, ἡ δὲ διὰ τὸ συστήσασθαι τὰ ἑαυτῆς δόγματα, καὶ οὔτε μέρος οὔτε μόριον ἐστὶν ἄλλης Τέχνης, ὁμολογουμένως τῶν εἰρημένων τεχνῶν, μέρος, ἢ μόριον ἔσται. ἄλλως καὶ ἐλλειπτικῶς τὸν λόγον προήγαγον. ἔδει γὰρ αὐτοὺς εἰπεῖν οὕτω. πᾶν κεχρημένον τινὶ, ἐὰν ἐκεῖνο ᾧ χρῆται τὸ χρώμενον, μήτε μέρος ἐστὶ, μήτε μόριον, μήτε ὄργανον ἄλλης Τέχνης, ἢ Ἐπιστήμης, αὐτοῦ τοῦ χρωμένου ἢ μέρος, ἢ μόριον, ἢ ὄργανον ἔσται. ἐπειδὴ δὲ ἡ Λογικὴ μήτε μέρος ἐστὶ, μήτε μόριον τῆς Φιλοσοφίας, ὄργανον αὐτῆς ἔσται. ὅτι δὲ δεῖ προσθεῖναι τῷ λόγῳ, τὸ, μήτε ὄργανον, δῆλον ἐντεῦθεν. ἡ γὰρ Ἰατρικὴ χρῆται τῷ φλεβοτόμῳ, ὅπερ οὔτε μέρος, οὔτε μόριον ἐστὶν ἄλλης Τέχνης, τῆς Ἰατρικῆς ἄρα. εἰ δὲ ταῦτα ἀληθῆ, ἐπειδὴ τὸ φλεβότομον σῶμα ἐστὶ, καὶ ἡ Ἰατρικὴ σῶμα ἔσται, οὖσα ἕξις ψυχῆς, καὶ Ἐπιστήμη, ὅπερ ἄτοπον.

Ἡ δὲ δευτέρα αὐτῶν ἐπιχείρησις ἐστὶ τοιαύτη. οὐδεμία Τέχνη φασὶ ποιεῖ τὸ οἰκεῖον ὄργανον, εἰ οὖν ἡ Φιλοσοφία ποιεῖ τὴν Λογικὴν, οὐκ ἔσται αὐτῆς ὄργανον, ἀλλὰ μέρος. ἀνατρέπεται δὲ καὶ αὕτη παρ' αὐτῷ. ὅτι εἰσὶ καὶ ἄλλαι Τέχναι πολλαὶ εὑρέτιδες τῶν οἰκείων ὀργάνων, οἷον ἡ Χαλκευτικὴ τοῦ ἄκμονος, ὀργάνου αὐτῆς ὄντος. ὡσαύτως καὶ ἡ Τεκτονικὴ τῆς



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σφύρας. τί οὖν ἄτοπον κἀνταῦθα λέγειν τὴν Λογικὴν ὄργανον Φιλοσοφίας, εἰ μὴ ἀποτέλεσμα ἐστὶν αὐτῆς; εἰ δὲ βούλει πρόσθες, ὅτι οὕτως μὲν διὰ τῆς τοιαύτης ἐπιχειρήσεως, εἰ καὶ ἀσθενῶς ἀποδεικνύουσιν ὄργανον μὴ εἶναι, τίνι δὲ τρόπῳ μέρος τῆς Φιλοσοφίας εἶναι, οὐδ᾽ ὁτιοῦν λέγουσιν. ὅπερ ἔδει μᾶλλον ποιῆσαι.

Οἱ δὲ Περιπατητικοὶ πάντες ὄργανον τῆς Φιλοσοφίας τὴν Λογικὴν ἀποφαίνονται εἶναι, καὶ πλείοσιν ἐπιχειρήμασι τὸ τοιοῦτον ἀσφαλίζουσι δόγμα. Πρῶτον μὲν, ὅτι τὰ μέρη οὐ περιλαμβάνονται ἀλλήλοις. οἷον ἡ χεὶρ οὐ περιλαμβάνεται ἐν ῥινί. ἡ δὲ Λογικὴ περιλαμβάνεται ἐν τῷ πρακτικῷ καὶ θεωρητικῷ, ἄρα οὐκ ἔσται μέρος Φιλοσοφίας, ἀλλ᾽ ὄργανον. Δεύτερον, εἰ τὰ ἰδιώματα ἅπερ ὑπάρχει τῷ μέρει, ταῦτα οὐχ ὑπάρχει τῇ Λογικῇ, ἃ δὲ ἰδιώματα ὑπάρχει τῷ ὀργάνῳ, ταῦτα καὶ αὐτῇ ὑπάρχει, δῆλον οὐχ ὡς μέρος, ἀλλ᾽ ὄργανον ἐστίν. ἀλλ᾽ ὅσα ὑπάρχει ὀργάνῳ ὑπάρχει καὶ αὐτῇ, ἄρα ὄργανον καὶ οὐ μέρος. τῷ γὰρ μέρει ὑπάρχει τὸ δι᾽ αὐτὸ γεγονέναι καὶ μὴ δι᾽ ἄλλο. ὥσπερ τὸ θεωρητικὸν μέρος ὂν τῆς φιλοσοφίας, δι᾽ ἑαυτὸ γέγονε, καὶ μὴ δι᾽ ἄλλο, ὡσαύτως δὲ καὶ τὸ πρακτικόν. τῷ δὲ ὀργάνῳ ὑπάρχει, τὸ δι᾽ ἄλλο γεγονέναι, καὶ μὴ δι᾽ ἑαυτό. ἡ οὖν Λογικὴ οὐ δι᾽ ἑαυτὴν γέγονεν, ἀλλὰ δι᾽ ἄλλο. διὰ γὰρ τὸ διακρίνειν ἐν μὲν θεωρίᾳ τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, ἐν πράξει δὲ τὸ καλὸν ἀπὸ τοῦ κακοῦ. ὥστε ὄργανον ἐστὶ τῆς Φιλοσοφίας καὶ οὐ μέρος.

Ἔτι πᾶν μέρος τὴν αὐτὴν ὕλην ἔχει, καὶ τὸ αὐτὸ τέλος τῷ ὅλῳ. ἡ δὲ Λογικὴ οὔτε τὴν αὐτὴν ὕλην, οὔτε τὸ αὐτὸ τέλος τῇ Φιλοσοφίᾳ ἔχει. οὐκ ἔσται ἄρα αὐτῆς μέρος. ἡ γὰρ ὕλη τῆς Φιλοσοφίας πράγματα, τέλος δὲ ἡ πρὸς τὸν Θεὸν ὁμοίωσις. τῆς δὲ Λογικῆς ὕλη, αἱ διὰ τῶν νοημάτων σημαντικαὶ φωναὶ τῶν πραγμάτων, τέλος δὲ ἀπόδειξις. Ἔτι τὸ μέρος συντιθέμενον μετὰ τῶν ἄλλων μερῶν συμπληροῖ τὸ ὅλον, ἀφαιρούμενον δὲ κολοβοῖ. ἡ δὲ λογικὴ οὐδέτερον τούτων ἀπεργάζεται. οὐκ ἄρα μέρος, ἀλλ᾽ ὄργανον.

Τούτοις τοῖς ἐπιχειρήμασιν, οὔτε δυνατὸν, οὔτε χρὴ ἀντιλέγειν, ὡς καὶ Ἀμμωνίῳ δοκεῖ. ἔχονται γὰρ ἀληθείας, τῇ δ᾽ ἀληθείᾳ ἀντιλέγειν οὐκ ἀκίνδυνον.



Ε.Ι.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Κοινωνία καὶ διαφορὰ, Γραμματικῆς, Ῥητορικῆς, καὶ Λογικῆς.

Τρεῖς οὖν αὗται λόγοις ἀμηγέπως φαίνονται κεχρημέναι· Γραμματική, Ῥητορική, καὶ Λογική. ὅθεν καὶ λογικαὶ Τέχναι εἰκότως ἤκουσαν. ἀλλ' ἡ μὲν Λογικὴ κέχρηται τῷ ἐν τῇ φωνῇ λόγῳ, οὐ πάντοτε καθ' αὑτὸ, ἀλλ' ᾗπερ ἐστὶν ἑρμηνευτικὸς τῆς ἰδιότητος καὶ τάξεως τῶν ἐν τῇ ψυχῇ παθημάτων τῆς ἡμετέρας γνωστικῆς δυνάμεως. Ῥητορικὴ δὲ κέχρηται μὲν καὶ αὐτὴ ἀναγκαίως ταῖς φωναῖς, οὐ πολυπραγμονεῖ δὲ τὴν σημασίαν αὐτῶν, ἀλλὰ τὸ εὐφραδὲς καὶ πειθήνιον. ἡ δὲ Γραμματικὴ καθ' αὑτὸ καταγίνεται περὶ τὴν σημασίαν τῶν φωνῶν, τέλος ποιοῦσα τὴν ἐν τῷ λέγειν καὶ γράφειν ὀρθότητα, καὶ θεωροῦσά πως τὴν διαφορὰν καὶ συγγένειαν τῶν τοῦ λόγου μερῶν.

Ἰστέον ὅτι ἡ Ῥητορικὴ σύγκειται ἐκ τῆς Τοπικῆς, καὶ τῆς περὶ τὰ ἤθη πραγματείας. ὡς ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ πρὸς Θεοδέκτην, καὶ ἔστιν ὄργανον τῆς πρακτικῆς Φιλοσοφίας, ὡς ἡ Λογικὴ τῆς θεωρητικῆς. θεωρίας γὰρ τέλος ἡ γνῶσις τοῦ ἀληθοῦς, τῆς δὲ πράξεως ἡ εὐζωΐα τῶν ὑπηκόων, πρὸς οὓς τῇ Ῥητορικῇ κέχρηται ὁ πρακτικὸς Φιλόσοφος. διὸ ἡ Λογικὴ οὐ πρὸς ἕτερον ἀναφέρεται. ἡ δὲ Ῥητορικὴ πρὸς ἕτερον, ἤτοι πρὸς τοὺς ἀκροατὰς, ὡς ὁ Φιλόσοφος ἐν τῷ αὐτῷ Κεφαλαίῳ πρὸς Θεοδέκτην.

Κοινωνοῦσι τοιγαροῦν ἄμφω, ὅτι ἐκτείνονται περὶ πάντα τὰ ὄντα. διαφέρουσι δὲ, ὅτι ἡ Λογικὴ καὶ ἀναγκαίως συλλογίζεται, καὶ πιθανῶς ἐπ' αὐτῶν κατὰ τὸν ἐν γένει συλλογισμὸν, ἰδίως δὲ μόνον ἀναγκαίως. ἡ δὲ Ῥητορικὴ τοῦ πιθανοῦ μόνον γίνεται στοχαστικὴ ἐπὶ τούτων, καὶ ἐφ' ὅσον εἰς πολιτικὸν ζήτημα ἀναφέρεται, τούτοις ἐφαρμόττεται, ἔσθ' ὅτε δὲ καὶ τοῦ ἀναγκαίου διὰ τὴν ὕλην. καὶ προσέτι διαφέρει ἡ Ῥητορικὴ τῆς Λογικῆς, ὡς τὸ μέρος ἀπὸ τοῦ ὅλου. Πρὸς τούτοις διειλήχατον, ὅτι τῇ μὲν Λογικῇ χρώμεθα ἐπὶ τῶν ὄντων, ἄνευ τινὸς περιστάσεως, καὶ καθόλου ταῦτα θεωροῦντες. τῇ δὲ Ῥητορικῇ μετά τινος περιστάσεως, καὶ ἐπὶ μέρους. ἡ γὰρ πρᾶξις διάφορος τῶν καθ' ἕκαστα Πόλεων, καὶ προσώπων.

Οἷς δὲ μάλιστα διαφέρει Ῥητορικὴ καὶ Λογικὴ, τρία ταῦτα εἰσί. πρῶτον ὁ τρόπος τῆς ἐνεργείας. δεύτερον ἡ ὕλη. καὶ τρίτον τὸ τέλος. κατὰ μὲν οὖν τὸν τρόπον τῆς ἐνεργείας διαφέρουσιν, ὅτι ἡ Ῥητορικὴ κέχρηται συλλογισμῷ πιθανῷ, ἡ δὲ Λογικὴ οὐ κέχρηται, ἀλλ' ἐργάζεται συλλογισμόν. κατὰ δὲ τὴν ὕλην διαφέρουσιν, ὅτι ἡ Ῥητορικὴ καταγίνεται κυρίως



Ε.Δ. τ.Φ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ τὰς πολιτικὰς συζητήσεις, ὅθεν καὶ τῆς πρακτικῆς Φιλοσοφίας ὄργανον γίνεται. κέχρηται γὰρ ταύτῃ ὁ πολιτικὸς εἰς διεξαγωγὴν τῆς πολιτείας, ἐφ᾽ ἣν καὶ ἡ Ποιητικὴ ἀναφέρεται. ἡ δὲ Λογικὴ ὕλην μὲν οὐδεμίαν ἔχει ἀφωρισμένην, ἀλλ᾽ ἁπλῶς ὡς ἔφημεν, τὰς σημαντικὰς τῶν ὄντων φωνὰς ὕλην ποιεῖται. κατὰ δὲ τὸ τέλος, ὅτι ἡ Ῥητορικὴ τέλος ποιεῖται τὸ πεῖσαι τοὺς ἀκροωμένους, ἢ γοῦν πιθανῶς εἰπεῖν. τὸ δὲ τέλος τῆς Λογικῆς ὄργανα παραδοῦναι τῇ Φιλοσοφίᾳ, εἰς διάγνωσιν ἀληθείας καὶ ψεύδους, ὅθεν καὶ τῆς θεωρητικῆς Φιλοσοφίας ὄργανον ἐπιγράφεται, καὶ προτάττεται τῆς θεωρητικῆς πραγματείας τοῦ Φιλοσόφου, ὥσπερ καὶ ἡ Ῥητορικὴ, καὶ Ποιητικὴ τοῖς Πολιτικοῖς βιβλίοις συντάττονται, οἷς καὶ ὑπηρετοῦσι.

## Περὶ εὑρέσεως τῆς Λογικῆς.

Τὴν τῆς Λογικῆς εὕρεσιν Διογένης μὲν ὁ Λαέρτιος ἐν τῷ τοῦ Πλάτωνος βίῳ, Ζήνωνι πρώτῳ ἀπονέμει, ἕτεροι δὲ τῷ Ἀναξιμένει. φασὶ δὲ ὅτι καὶ Ἀριστοτέλης (τοῦ αὐτοῦ Διογένους ἀναφέροντος) τῷ αὐτῷ Ἀναξιμένει ταύτην ἀπένειμε. τῶν δὲ Φιλοσοφούντων τινὲς αὐτῷ τῷ Φιλοσόφῳ ἀπονέμουσι. πιστεύεται δὲ τοῦτο καὶ παρ᾽ αὐτῷ Ἀριστοτέλει ἐν κεφαλαίῳ ἐσχάτῳ τῶν περὶ Ἐλέγχων. ὅστις ἑαυτῷ πρῶτον οἰκειοῦται τὴν εὕρεσιν τῆς Λογικῆς. οἱ γὰρ ἀρχαῖοι φησὶν οὐκ ἀμοίρησαν τῆς Λογικῆς Τέχνης, ἀλλ᾽ ἐχρῶντο τοῖς ἀπ᾽ αὐτῆς, οἷον ὁρισμοῖς, συλλογισμοῖς, καὶ τοῖς τοιούτοις. ἀλλ᾽ ἐπειδὴ οὐκ ἔστιν ἄνευ τῆς Λογικῆς ἐγκρατῆ γενέσθαι τινὰ Φιλοσοφίας, προτρέπεται ἡμᾶς ἡ ἀκολουθία τῶν πραγμάτων, τὴν εὕρεσιν ταύτην ἀναθεῖναι ἐκείνοις, οἳ πρῶτον ἤρξαντο φιλοσοφεῖν. φαίνονται μέν τοι ταύτην τὸ κατ᾽ ἀρχὰς, ἀκατασκεύως καὶ ἀκαλλῆ, ἐλλειπῶς τε, καὶ συγκεχυμένως χρῆσθαι ταύτῃ τοὺς πρὸ Ἀριστοτέλους φιλοσοφήσαντας, τῷ δὲ τοῦ χρόνου διαστήματι ὑπὸ τῶν Φιλοσόφων διορθοῦσθαί τε, καὶ πλατύνεσθαι. σεσημειωμένων γὰρ τῶν ἐν Φιλοσοφίᾳ ἁμαρτημάτων, καὶ διορθουμένων, εἰκὸς ἦν κανόνας ἀληθεστέρους πρὸς τὸ φιλοσοφεῖν εὑρίσκεσθαι. διὸ πιστευτέον πολλὰ προσθεῖναι ταύτῃ τὸν Ζήνωνα, πολλὰ τὸν Πλάτωνα. ὑπὸ δὲ Ἀριστοτέλους οὐ μόνον ηὐξήνθη καὶ τελειοτέρα γέγονεν, ἀλλὰ καὶ τελείως ἐξηκριβώθη, καὶ τὴν Τοπικὴν ταύτῃ προσέθηκεν, ὡς αὐτός φησιν ἐν τῷ ῥηθέντι κεφαλαίῳ τῶν Σοφιστικῶν ἐλέγχων.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Ε.Ν.Φ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Διαίρεσις τῆς Λογικῆς πραγματείας, καὶ τῶν ταύτης μερῶν ἀπαρίθμησις.

Διαφόρως ἡ Λογικὴ πραγματεία ὑπὸ τῶν ταύτην ἐπαγγελλομένων διαιρέσεις ἐπιδέχεται, κατὰ τὸ δοκοῦν ἕκαστος ταύτην διαιρῶν, καὶ ὑποδιαιρῶν. αὕτη μέν τοι ἡ διαίρεσις εὐλογωτέρα τῶν ἄλλων δοκεῖ, καὶ τῇ φύσει τῆς Λογικῆς ἁρμοδιωτέρα, ἡ εἰς δύο μέρη ταύτην διαιροῦσα. ὧν τὸ ἕτερον ἐστὶ κοινὸν, τὸ δὲ ἴδιον. κοινὸν μέν ἐστιν ὃ τὸν ἐν γένει συλλογισμὸν, καὶ τὰ (1) πρὸς αὐτὸν συντείνοντα περιέχει. ἴδιον δὲ ὃ τὰ εἴδη τοῦ συλλογισμοῦ διακεκριμένως διδάσκει. αὕτη δὲ ἡ διαίρεσις συμφωνεῖ πως ἐκείνῃ, ἥτις εἴωθε γίνεσθαι εἰς τρία τὸ πρῶτον, εἰς τὴν ἀποδεικτικὴν, καὶ τὸ ταύτης ἡγούμενον, καὶ ἑπόμενον μέρος. διαφέρει δὲ κατὰ τοῦτο μόνον· ὅτι τὸν ἐξαίρετον τῆς Λογικῆς σκοπὸν ὡς σκοπιμώτατον τέλος λαβοῦσα, τά τε πρὸ αὐτοῦ, καὶ τὰ μετ' αὐτὸν (2) ὡς εἴδη καὶ μέρη (3) τοῦ ἐν γένει συλλογισμοῦ θεωρεῖ.

Ἐπὶ ταύτης (4) τοίνυν τῆς διαιρέσεως οὐκ ἄνευ λόγου τὸ μέρος ἐκεῖνο, ὃ τὸν ἐν γένει συλλογισμὸν περιέχει, προηγεῖται τοῦ μέρους ἐκείνου, ὃ τὰ διάφορα τούτου εἴδη διέξεισι. τὸ γὰρ γένος καὶ τῇ τῆς φύσεως τάξει, καὶ τῇ τῆς διδασκαλίας, τῶν αὐτοῦ εἰδῶν ἀεί ποτε προηγεῖται. τοιγαροῦν καὶ ὁ ἐν γένει συλλογισμὸς γένος κοινὸν ὢν τῶν τριῶν εἰδῶν τῶν ὑφ' αὐτὸ, διδασκαλικῶς ἅμα καὶ φυσικῶς προηγεῖται τούτων. ἐπειδὴ δὲ ὁ συλλογισμὸς ὄργανον ἐστὶν, ᾧ πεφύκασιν αἱ τοῦ νοὸς ἡμῶν ἐνέργειαι διορθοῦσθαι, καὶ εἰς τὴν τῆς ἀληθείας ἔρευναν ὁδοῦσθαι. αἱ δὲ ἐνέργειαι τοῦ ἡμετέρου νοὸς τριχῶς διαιροῦνται. ἡ μὲν γάρ ἐστιν ἡ ἁπλῆ πρόσληψις· ὡς ὅτε τὰ πράγ-

Λογική

Εἰς Κατηγορίας, καὶ περὶ Ἑρμηνείας, καὶ Ἀναλυτικὰ πρότερα. | Ἀπόδειξιν. | Τοπικὰ, καὶ Σοφιστικά.

(1) Οἷα αἱ Κατηγορίαι, καὶ τὸ περὶ Ἑρμηνείας, καὶ ἁπλῶς ὁ ἐν γένει συλλογισμὸς, ὃς συνημμένως καὶ ἀδιαφόρως τὰ τρία εἴδη τοῦ συλλογισμοῦ ἀποδεικτικὸν, τοπικὸν, καὶ σοφιστικὸν περιέχει. (2) Τοὺς τρεῖς συλλογισμούς. (3) Κατηγορίας, καὶ περὶ Ἑρμηνείας. (4) Τῆς διμεροῦς δηλαδὴ διαιρέσεως ἤγουν τῆς πρώτης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΝΙΚ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πράγματα ἁπλῶς διαλαμβάνομεν. φέρε εἰπεῖν προσλαβόντες τῷ ἡμετέρῳ νοῒ Ἄνθρωπον, Ἵππον, καὶ τὰ τοιαῦτα. ἥτις καὶ πρόσληψις τῶν ἁπλῶν λέγεται. ἡ δὲ σύνθετος, ἥτις κατὰ σύνθεσιν καὶ διαίρεσιν θεωρεῖται, ὡς ὅτε καταφάσκομέν τι κατά τινος, ἢ ἀποφάσκομέν τι ἀπό τινος. οἷον ὁ Ἄνθρωπος ἐστὶ λογικὸς, ἢ ὁ Ἵππος οὐκ ἔστι λογικός. Ἡ δὲ τρίτη ἐνέργεια διάνοια ὀνομάζεται, ὡς ὅτε ἔκ τινων προεγνωσμένων ἄλλου τινὸς τὴν γνῶσιν θηρεύομεν. γινωσκομένου φέρε εἰπεῖν τοῦ ἀνθρώπου ὅτι ἐστὶ λογικὸς, καὶ τοῦ Σωκράτους, ὅτι ἐστὶν ἄνθρωπος, ἐπιφέρεται ὅτι ὁ Σωκράτης ἐστὶ λογικός. ἀεὶ δὲ ἡ ἑπομένη τῶν εἰρημένων ἐνεργειῶν προϋποτίθησι τὴν ἡγουμένην ὡς οἰκεῖον μέρος, ἡ δὲ ἡγουμένη ἐπιμάζεται τῇ ἑπομένῃ ὡς οἰκείῳ ὅλῳ. ἀνάγκη καὶ τὸν συλλογισμὸν κατὰ τὰς ῥηθείσας τρεῖς ταύτας ἐνεργείας διαιρεῖσθαι. ἀλλὰ καὶ οὕτως ἔχει. καὶ γὰρ ἐξ ὅρων συνίσταται, οἵπερ τῇ πρώτῃ ἐνεργείᾳ τοῦ νοὸς ἀναλογοῦσι. οὗτοι δὲ οἱ ὅροι συμπλεκόμενοι πρὸς ἀλλήλους τὰς προτάσεις ποιοῦσι, τῇ κατὰ σύνθεσιν, ἢ διαίρεσιν ἐνεργείᾳ ἀναλογούσας. Συντεθεὶς δὲ ἐκ τούτων ὁ συλλογισμὸς, καὶ καθ' ἑαυτὸν θεωρούμενος, τῇ τρίτῃ ἀναλογεῖ ἐνεργείᾳ, τῇ διανοίᾳ δηλαδή.

Πρὸς τούτοις ἐστὶν ἀξίωμα κοινὸν, ὅτι τὰ μέρη ἐν τῇ συνθέσει προηγεῖται τοῦ ὅλου, ἐν δὲ τῇ γνώσει ἐπιφέρεται. τὸ τοίνυν τέλος (1) τῆς Λογικῆς οὐ τοσοῦτο τὴν τοῦ συλλογισμοῦ γνῶσιν, ὅσῳ τὴν τούτου στοχάζεται σύνθεσιν. διὸ δέον ἦν τὸν Φιλόσοφον, πρῶτον μὲν περὶ τῶν ὅρων ἐκθέσθαι, δεύτερον δὲ περὶ τῶν προτάσεων. καὶ τοῦτο διχῶς, ἢ καθ' αὑτὰς, ἢ καθό εἰσι τοῦ συλλογισμοῦ μέρη. καὶ τρίτον περὶ αὐτοῦ τοῦ συλλογισμοῦ.

Ἀλλὰ κἀκεῖνο ἄξιον ἐστὶ ἀποσημειώσεως, ὅτι ἡ ὕλη περὶ ἣν ἡ Λογικὴ καταγίνεται, πάντα τὰ ὄντα ἐστὶν, ἢ τὰ τούτων νοήματα. ὁ δὲ Τεχνίτης ὀφείλει γνῶσίν τινα ἔχειν τῆς ὕλης ἐκείνης, περὶ ἣν τὰς ἐνεργείας μέλλει ποιήσειν. ἀναγκαῖον ἦν τοιγαροῦν καὶ τὸν Φιλόσοφον πρὸ πάντων τούτων πραγματείαν τινὰ ἐκδοῦναι περὶ πάντων τῶν ὄντων. διὸ δεόντως εἰς δέκα γένη γενικώτατα διαιρέσας τὰ ὄντα, καί τινα γνῶσιν τοῦ ὑποκειμένου ἡμῖν παρεσχόμενος, ἀτελῆ μὲν καὶ ἀκατασκεύαστον τό γε κατ' αὐτὴν, λογικῷ μόνῳ τῷ προσήκουσαν, ἐπὶ τὰ λοιπὰ τῆς πραγματείας προυχώρησεν.

Τὸ δὲ ἕτερον μέρος τῆς διαιρέσεως, ὃ περὶ τῶν εἰδῶν τοῦ συλλογισμοῦ πραγματεύεται, εἰς διάφορα διαιρεῖται μέρη, κατὰ τὴν διαφορὰν τῆς ὕλης

καὶ

(1) Ὁ σκοπὸς ἐστὶ τέλος τοῦ λογικοῦ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ τοῦ τέλους. τὸ γὰρ συλλογιστικὸν σχῆμα, ᾗ προσαρμόζεται ὕλη ἀναγκαία, τουτέστιν ἐκ προτάσεων ἀναγκαίως ἐχόντων συνίσταται, τέλος ἔχον τὴν τῆς Ἐπιστήμης ἐπίγνωσιν, καὶ τηνικαῦτα τὸ ἀποδεικτικὸν εἶδος τοῦ συλλογισμοῦ κατασκευάζει. ᾗ ψευδὴς ὕλη καὶ ἀδυνάτῳ ἁρμόζεται, κατὰ δὲ τὸ δοκεῖν πιθανῇ, τέλος ἔχον τὴν ἀπάτην τῶν ἀκροατῶν, καὶ τότε τὸ ἀπατηλὸν, καὶ σοφιστικὸν εἶδος τοῦ συλλογισμοῦ ἀποτελεῖ. ᾗ ἐξ ἐνδόξου καὶ πιθανῆς ὕλης τὸ σχῆμα τοῦ συλλογισμοῦ κατασκευάζεται, τέλος ἔχον, δόξαν ἐν ταῖς τῶν ἀκροατῶν διανοίαις παρασπεῖραι. καὶ τοῦτο διχῶς, ἢ γὰρ τοιαύτην δόξαν στοχάζεται, ὥστε περί τινος πράγματος γνῶσιν δοξαστικὴν περιποιῆσαι, ὅς τις συλλογισμὸς τοπικὸς ἀποκαλεῖται. ᾧπερ οἱ Φιλόσοφοι ἐν ταῖς διαλέξεσι χρῶνται. ἢ τὴν τοιαύτην δόξαν περαιτέρω διαβιβάζει, διὰ τὸ πεῖσαι τὸν ἀκροατὴν δηλαδὴ εἰπεῖν τι ἢ πρᾶξαι. ὃς συλλογισμὸς λέγεται ῥητορικὸς περὶ τὴν πολιτικὴν ὕλην καταγινόμενος, εἰς τρία διαιρουμένην τῶν λόγων γένη, Ἐπιδεικτικὸν δηλαδὴ, δικανικὸν, καὶ συμβουλευτικόν.

Ἡ δὲ τάξις τῶν βιβλίων τῆς Λογικῆς πραγματείας τοῦτον ἔχει τὸν τρόπον. Πρῶτον πάντων ἐστὶ τὸ περὶ Κατηγοριῶν βιβλίον, ἐν ᾧ ἡ ὕλη πάσης τῆς Λογικῆς ἑρμηνεύεται, καὶ ἀκατάσκευός τις ταύτης παραδίδοται γνῶσις. μεθ' ὃ τὸ περὶ Ἑρμηνείας βιβλίον. ὅπερ περὶ ὅρων, καὶ προτάσεων καθ' αὑτὸ πραγματεύεται. καθὸ δηλαδὴ εἰσὶ φωναὶ σημαντικαὶ καὶ ἀποφάνσεις. τρίτον ἐστὶ τὸ ἐπιγραφόμενον πρότερα ἀναλυτικά, ὅπου ὁ Ἀριστοτέλης διέξεισι περὶ τῶν ὅρων, καὶ προτάσεων, ἀναφερομένων εἰς σχηματισμὸν συλλογισμοῦ, (καθὸ δηλαδὴ εἰσὶ τοῦ συλλογισμοῦ μέρη,) καὶ περὶ αὐτοῦ τοῦ ἐν γένει συλλογισμοῦ. μετὰ δὲ ταῦτα τὰ διάφορα τῶν συλλογισμῶν εἴδη ἐπιφέρονται. καὶ πρῶτον πάντων τὸ ἀποδεικτικόν. ὅπερ ὁ Φιλόσοφος ἐν τοῖς Ὑστέροις τῶν Ἀναλυτικῶν ἐκτίθεται. Πέμπτην δὲ τάξιν ἔχει ἡ Τοπικὴ πραγματεία, ἐν ᾗ περὶ τοῦ ἐξ ἐνδόξων συλλογισμοῦ. τελευταῖον δὲ οἱ σοφιστικοὶ Ἔλεγχοι ἐπιφαίρονται.

Τοιγαροῦν τὸ πρῶτον μέρος τῆς διμεροῦς διαιρέσεως, τρία περιέχει βιβλία. τὸ περὶ Κατηγοριῶν, τὸ περὶ Ἑρμηνείας, καὶ τὰ πρότερα Ἀναλυτικά. τὸ δεύτερον τὰ λοιπὰ τρία. τὰ ὕστερα Ἀναλυτικὰ, τὴν Τοπικὴν, καὶ τοὺς σοφιστικοὺς Ἐλέγχους. ἐν ᾧ οἱ τρόποι τῶν σοφισμάτων ἐξετάζονται. τῆς δὲ τριμεροῦς διαιρέσεως τὸ πρῶτον μέρος τὰ τρία ἐκεῖνα περιέχει, ἅπερ καὶ τὸ μέρος τῆς διμεροῦς. τὸ δὲ δεύτερον τὰ ὕστερα Ἀναλυτικὰ μόνα, ἐν ᾧ περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ. τὸ δὲ τρίτον τὰ λοιπὰ

δύο,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δύο, τὴν Τοπικὴν, καὶ τὸ περὶ Ἐλέγχων. τούτων δὲ πάντων προτέτακται τὸ τοῦ Πορφυρίου Συνταγμάτιον. ὅπερ οὐκ ἔστι μέρος τῆς Λογικῆς πραγματείας, ἀλλ᾽ εἰσαγωγὴ εἰς αὐτήν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τέλος τῶν προλεγομένων, τῷ
Θεῷ δὲ δόξα.



Ε.Γ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006